λους. Ἦν δὲ τοῦτο μὲν τῶν ἀφιγμένων ἔργον, τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγμάτων λέγειν καὶ τὰ βέλτισθ' ὑπὲρ ὑμῶν σκοπεῖν ἄνευ φιλονεικίας τῶν ἐνθάδε συμβουλεύειν ἀξιούντων. [2] Νῦν δ' ἔγωγε, εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκεσθαι καὶ τὸ τῇ φωνῇ λέγειν Ἀττικῶς, πολλοὺς ἂν οἶμαι τοὺς μὲν Ἀρκάδας, τοὺς δὲ Λάκωνας αὐτῶν εἶναι νομίσαι. Ἐγὼ δ' ὁρῶ μὲν ὡς χαλεπὸν τὰ βέλτιστα λέγειν ἐστί· συνεξηπατημένων γὰρ ὑμῶν, καὶ τῶν μὲν ταυτί, τῶν δὲ ταυτὶ βουλομένων, ἂν τὰ μεταξύ τις ἐγχειρῇ λέγειν κᾆθ' ὑμεῖς μὴ περιμένητε μαθεῖν, χαριεῖται μὲν οὐδετέροις, διαβεβλήσεται δὲ πρὸς ἀμφοτέρους· [3] οὐ μὴν ἀλλ' αἱρήσομαι μᾶλλον αὐτός, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν φλυαρεῖν, ἢ παρ' ἃ βέλτιστα νομίζω τῇ πόλει, προέσθαι τισὶν ὑμᾶς ἐξαπατῆσαι. Τὰ μὲν οὖν ἄλλ' ὕστερον, ἂν ὑμῖν βουλομένοις ᾖ, δείξω· ἀπὸ δὲ τῶν ὁμολογουμένων ὑφ' ἁπάντων ἄρξομαι ἃ κράτιστα νομίζω διδάσκειν.

[4] Οὐκοῦν οὐδ' ἂν εἷς ἀντείποι, ὡς οὐ συμφέρει τῇ πόλει
203 καὶ Λακεδαιμονίους ἀσθενεῖς εἶναι καὶ Θηβαίους τουτουσί. Ἔστι τοίνυν ἔν τινι τοιούτῳ καιρῷ τὰ πράγματα νῦν, εἴ τι δεῖ τοῖς

NC. 5. Ἀττικιστί 8ᵉ *Exorde* et Cobet. — 6. τὸ τὰ vulg. — 8-9. βουλομένων se trouve après le premier ταυτί dans la vulgate. — τὰ μεταξύ et ἐγχειρῇ vulg. τι μεταξύ et εγχειρει S seul. Vœmel n'aurait pas dû admettre la leçon vicieuse τι. — 9. κἆτα ὑμεῖς ou καθὰ ὑμεῖς, Aristide, dans les *Rhetores* de Walz, t. IX, p. 379. κατὰ ὑμεῖς S dans le 8ᵉ *Exorde*. Ici κὰθ' ὑμεῖς A¹. καὶ ὑμεῖς S. — μὴ manque dans S. — Variante : περιμείνητε. — 12. ἢ παρ' S. ἤπερ vulg. — 14. δείξω S. λέξω vulg. — 18. τοιούτῳ καιρῷ S. καιρῷ τοιούτῳ vulg.

ουσι, (vous,) auxquels les uns et les autres (Arcadiens et Lacédémoniens) s'adressent dans la personne de leurs ambassadeurs. Πρεσβεύειν veut dire « être ambassadeur », πρεσβεύεσθαι signifie « envoyer une ambassade ». (Cf. Ammonius, p. 118.) Démosthène dit ici des peuples eux-mêmes qu'ils viennent en ambassade : il les identifie avec leurs députés. Vœmel a très-bien expliqué ce point, et il a cité un passage du *De Chersoneso*, où on lit d'abord (§ 35) : Ἄνδρες Ἀθηναῖοι, πέμπεθ' ὡς ἡμᾶς ἑκάστοτε πρέσβεις, et ensuite (§ 37) : Τί οὖν πρεσβεύετε;

6. Αὐτῶν. Ce génitif se rattache à τοὺς μέν et à τοὺς δέ.

7. Συνεξαπητημένων équivaut peut-être à ἐξηπατημένων ὥστε συνίστασθαι. Abusés par les orateurs, les Athéniens se sont formés en partis. Cf. *Ol.* II, 29.

13-14. Ἂν ὑμῖν βουλομένοις ᾖ. Hellénisme quelquefois imité par les Latins. Cf. Salluste, *Jugurtha*, 84 : « Neque plebi militia volenti putabatur. »

17. Τουτουσί, *istos*. Avec une nuance de mépris, marquée par l'accent et le geste de l'orateur. Quant au fond de la pensée, on a rapproché de ce passage ce que Démosthène a dit peu de mois plus tard dans le discours contre Aristocrate, § 102 : Ἴσθ' ὅτι συμφέρει τῇ πόλει μήτε Θηβαίους μήτε Λακεδαιμονίους ἰσχύειν,

εἰρημένοις πολλάκις παρ' ὑμῖν λόγοις τεκμήρασθαι, ὥστε Θηβαίους μὲν Ὀρχομενοῦ καὶ Θεσπιῶν καὶ Πλαταιῶν οἰκισθεισῶν ἀσθενεῖς γενέσθαι, Λακεδαιμονίους δ', εἰ ποιήσονται τὴν Ἀρκαδίαν ὑφ' ἑαυτοῖς καὶ Μεγάλην πόλιν ἀναιρήσουσιν, πάλιν ἰσχυροὺς γενήσεσθαι. [5] Σκεπτέον τοίνυν μὴ πρότερον τούσδε γενέσθαι φοβεροὺς καὶ μεγάλους ἐάσωμεν ἢ 'κεῖνοι μικροὶ γεγενήσονται, καὶ λάθωσιν ἡμᾶς πλείονι μείζους οἱ Λακεδαιμόνιοι γενόμενοι ἢ ὅσῳ τοὺς Θηβαίους ἐλάττους συμφέρει γενέσθαι. Οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποιμεν, ὡς ἀνταλλάξασθαι βουλοίμεθ' ἀντιπάλους Λακεδαιμονίους ἀντὶ Θηβαίων, οὐδὲ τοῦτ' ἔσθ' ὃ σπουδάζομεν, ἀλλ' ὅπως μηδέτεροι δυνήσονται μηδὲν ἡμᾶς ἀδικεῖν· οὕτω γὰρ ἂν ἡμεῖς μετὰ πλείστης ἀδείας εἴημεν.

[6] Ἀλλὰ νὴ Δία ταῦτα μὲν οὕτως δεῖν ἔχειν φήσομεν, δεινὸν δ' εἰ, πρὸς οὓς παρεταττόμεθ' ἐν Μαντινείᾳ, τούτους συμμάχους αἱρησόμεθα, εἶτα βοηθήσομεν τούτοις ἐναντί' ἐκείνοις μεθ' ὧν τότ' ἐκινδυνεύομεν. Κἀμοὶ ταῦτα δοκεῖ, προσδεῖσθαι δ' ἔτι τοῦ « τὰ δίκαια ποιεῖν ἐθελόντων τῶν ἑτέρων ». [7] Εἰ μὲν

NC. 2. θεσπιῶν καὶ πλαταιῶν S. Θεσπιέων καὶ Πλαταιέων vulg. — 3. τὴν ἀρκαδίαν S. Ἀρκαδίαν vulg. — 4. ἀναιρήσουσιν S. αἱρήσουσι vulg. — 7. J'écris γεγενήσονται. S seul τε γενήσονται. Vulg. : γενήσονται. — 15. ἐκείνοις S et vulg. Bekker et Dindorf préfèrent la variante ἐκείνων. — 16. κἀμοί plusieurs manuscrits. καί μοι vulg. et S. — 17. δ' ἔτι, correction de Reiske pour δέ τι. — τῶν après ἐθελόντων est omis dans S.

ἀλλὰ τοῖς μὲν Φωκέας ἀντιπάλους, τοῖς δ' ἄλλους τινὰς εἶναι.

2. Ὀρχομενοῦ.... οἰκισθεισῶν. Les succès d'Onomarque faisaient alors espérer le rétablissement des anciennes villes autonomes de la Béotie que les Thébains avaient détruites. C'eût été le coup de grâce pour la puissance de ces derniers.

3-5. Γενέσθαι.... γενήσεσθαι. Dans le premier membre de phrase, l'aoriste γενέσθαι est en accord avec οἰκισθεισῶν; dans le second, le futur γενήσεσθαι est amené par εἰ ποιήσονται. Cette dernière tournure marque plus nettement que l'éventualité prévue est purement hypothétique. On a voulu, sans nécessité, soit supprimer γενέσθαι, soit écrire deux fois γενέσθαι ou deux fois γενήσεσθαι.

5. Nous croyons que πρότερον, « plus tôt, » équivaut ici à *citius*, et se rapproche du sens de « plutôt ». Que l'agrandissement de Sparte précède l'amoindrissement de Thèbes, ce n'est pas cette antériorité qui constitue un danger pour Athènes : il est, au contraire, utile que la puissance de Sparte soit contrebalancée par celle de Thèbes. L'orateur veut dire qu'il faut veiller à ce que celle des deux perspectives qui est fâcheuse pour Athènes ne se réalise promptement, si on laisse faire, et que l'autre, qui est heureuse, ne s'accomplisse pas de sitôt. Cf. *Amb.* § 109.

14. Ἐν Μαντινείᾳ. On sait qu'à la bataille de Mantinée les Athéniens combattaient avec les Lacédémoniens contre les Arcadiens, lesquels étaient alliés de Thèbes.

17. L'article τοῦ se rapporte à l'idée exprimée par la locution complexe τὰ δι-

τοίνυν ἐθελήσουσιν εἰρήνην ἅπαντες ἄγειν, οὐ βοηθήσομεν τοῖς Μεγαλοπολίταις· οὐδὲν γὰρ δεήσει· ὥστ' οὐδ' ὁτιοῦν ὑπεναντίον ἡμῖν ἔσται πρὸς τοὺς ἀντιπαραταξαμένους, σύμμαχοι δ' ἡμῖν οἱ μὲν ὑπάρχουσιν, ὥς φασιν, οἱ δὲ προσγενήσονται νυνί. Καὶ τί ἂν ἄλλο βουλοίμεθα; [8] Ἐὰν δ' ἀδικῶσιν καὶ πολεμεῖν οἴωνται δεῖν, εἰ μὲν ὑπὲρ τούτου μόνον βουλευτέον, εἰ χρὴ Με-
204 γάλην πόλιν ἡμᾶς προέσθαι Λακεδαιμονίοις ἢ μή, δίκαιον μὲν οὔ, συγχωρῶ δ' ἔγωγ' ἐᾶσαι καὶ μηδὲν ἐναντιωθῆναι τοῖς γε τῶν αὐτῶν μετασχοῦσι κινδύνων· εἰ δ' ἅπαντες ἐπίστασθ' ὅτι, ταύτην ἂν ἕλωσιν, ἴασιν ἐπὶ Μεσσήνην, φρασάτω τις ἐμοὶ τῶν νῦν χαλεπῶν τοῖς Μεγαλοπολίταις, τί τόθ' ἡμῖν συμβουλεύσει ποιεῖν. Ἀλλ' οὐδεὶς ἐρεῖ. [9] Καὶ μὴν πάντες ἐπίστασθ' ὡς, καὶ παραινούντων τούτων καὶ μή, βοηθητέον καὶ διὰ τοὺς ὅρκους, οὓς ὀμωμόκαμεν Μεσσηνίοις, καὶ διὰ τὸ συμφέρον εἶναι κατοικεῖσθαι ταύτην τὴν πόλιν. Σκοπεῖσθε δὴ πρὸς ὑμᾶς αὐτοὺς ποτέραν τὴν ἀρχὴν καλλίονα καὶ φιλανθρωποτέραν ποιήσεσθε

NC. 1. εἰρήνην ἅπαντες S seul. πάντες εἰρήνην vulg. — 3. ἡμῖν S seul. ὑμῖν vulg. — ἀντιπαραταξαμένους S. συμπαραταξαμένους vulg. Quelque plausible que puisse sembler cette dernière leçon, elle ne s'accorde pas avec la subdivision οἱ μὲν.... οἱ δέ. C'est ainsi qu'en ont jugé les éditeurs de Zurich et Ruediger. — 6. μόνον S et vulg. μόνου variante adoptée par Dindorf. — 7-8. εἰ μὴ S, de première main. — τοῖς γε S seul. τοῖς τότε vulg. — 12. καί, après ὡς, est omis dans S et par Vœmel.

καια.... τῶν ἑτέρων. « Mais qu'il faut ajouter une condition, à savoir que les adversaires des Arcadiens soient disposés à faire ce qui est juste. » Cf. *Couronne*, § 306 : Καὶ τὸ δικαίως προσῆν, et, quant au sens de οἱ ἕτεροι, Xénophon, *Helléniques*, IV, II, 16 : Οἱ ἕτεροι (équivalant à οἱ ἀντίπαλοι) μέντοι ἐλθόντες κατεστρατοπεδεύσαντο.

3. Ἀντιπαραταξαμένους, ceux qui à Mantinée se trouvèrent opposés les uns aux autres, c'est-à-dire tant les Lacédémoniens (οἱ μέν) que les Mégalopolitains (οἱ δέ).

6. Εἰ μὲν. L'hypothèse indiquée par ἐάν, « au cas que » (l. 5), est subdivisée par l'orateur au moyen des particules εἰ μὲν.... εἰ δ(έ) (l. 9).

8. Τοῖς γε.... Pour rendre la particule γε en français, il faudrait dire : « aux Lacédémoniens, puisque enfin ils ont été nos compagnons d'armes. »

12. Ἀλλ' οὐδεὶς ἐρεῖ. « Orator hoc vult : Sed nemo dicet, ne sibi manifesto « contradicat; quantumvis enim nunc fa- « veat Lacedæmoniis, tamen, si dicere « vellet, fateri cogeretur, periculo Mes- « seniis imminente arma sumenda esse. » [G. H. Schaefer.]

13. Τοὺς ὅρκους. Pausanias (IV, XXVIII 1 et 2) rapporte que, dès le commencement de la guerre Sacrée, Messène avait recherché la protection des Athéniens contre Sparte, et que ceux-ci avaient promis des secours, pour le cas où les Lacédémoniens attaqueraient les Messéniens. Ce passage a été rapproché du nôtre par Lucchesini.

15. Κατοικεῖσθαι, subsister, ne pas être dissoute.

τοῦ μὴ ἐπιτρέπειν ἀδικεῖν Λακεδαιμονίοις, τὴν ὑπὲρ Μεγάλης πόλεως ἢ τὴν ὑπὲρ Μεσσήνης. [10] Νῦν μέν γε βοηθεῖν δόξετ' Ἀρκάσι, καὶ τὴν εἰρήνην σπουδάζειν εἶναι βεβαίαν, ὑπὲρ ἧς ἐκινδυνεύσατε καὶ παρετάξασθε· τότε δ' εὔδηλοι πᾶσιν ἔσεσθ' οὐ τοῦ δικαίου μᾶλλον εἵνεκα Μεσσήνην εἶναι βουλόμενοι ἢ τοῦ πρὸς Λακεδαιμονίους φόβου. Δεῖ δὲ σκοπεῖν μὲν καὶ πράττειν ἀεὶ τὰ δίκαια, συμπαρατηρεῖν δ' ὅπως ἅμα καὶ συμφέροντ' ἔσται ταῦτα.

[11] Ἔστι τοίνυν τοιοῦτός τις λόγος παρὰ τῶν ἀντιλεγόντων, ὡς κομίσασθαι τὸν Ὠρωπὸν ἡμᾶς ἐπιχειρεῖν δεῖ, εἰ δὲ τοὺς βοηθήσαντας ἂν ἡμῖν νῦν ἐπ' αὐτὸν ἐχθροὺς κτησόμεθα, οὐχ ἕξομεν συμμάχους. Ἐγὼ δὲ τὸ μὲν κομίσασθαι <τὸν> Ὠρωπὸν πειρᾶσθαι δεῖν φημι καὶ αὐτός· τὸ δ' ἐχθροὺς ἡμῖν Λακεδαιμονίους ἔσεσθαι νῦν, ἐὰν ποιώμεθα συμμάχους Ἀρκάδων τοὺς βουλομένους ἡμῖν εἶναι φίλους, μόνοις οὐδ' εἰπεῖν ἐξεῖναι νομίζω τοῖς πείσασιν ὑμᾶς, ὅτ' ἐκινδύνευον Λακεδαιμόνιοι, βοηθεῖν αὐτοῖς. [12] Οὐ γὰρ ταῦτα λέγοντες ἔπεισαν ὑμᾶς 205

NC. 1. ἐπιτρέπειν A et Dindorf. ἐπιτρέπειν ὑμᾶς S. ἐπιτρέπειν ἡμᾶς vulg. Quoi qu'en disent G. H. Schæfer et d'autres, ἐπιτρέπειν ne peut être accompagné ici d'un sujet ni ἀδικεῖν d'un régime. — 4. [ἐκινδυνεύσατε] Dobree et Cobet. — 5. ἕνεκα mss. — 6-7. ἀεὶ καὶ πράττειν vulg. — 9. τοίνυν S seul. τοίνυν καὶ vulg. — 11. βοηθήσαντας ἡμῖν νῦν (sic) ἐπ' αυτους ἐχθροὺς S. βοηθήσοντας ἂν ἡμῖν ἐχθροὺς ἐπ' αὐτὸν νῦν vulg. — 12. τὸν a été inséré de l'avis de Benseler, *De Hiatu*, p. 87. — 13-14. δεῖν φημὶ S. φημι δεῖν vulg. — Λακεδαιμονίους ἔσεσθαι S. ἔσεσθαι Λακεδαιμονίους vulg. — La ponctuation ἔσεσθαι, νῦν ne serait admissible, ce me semble, que si ἔσεσθαι était accompagné de τότε. — ποιώμεθα S. ποιησώμεθα vulg. — 15. ἐξεινεῖναι S. — 16. ὑμᾶς S. ἡμᾶς vulg. — 17. αὐτοῖς est ajouté à la marge de S par une main ancienne. — οὐ S seul, et Ed. Tournier (*Exercices critiques*, p. 5). οἱ vulg.

5. Οὐ τοῦ δικαίου μᾶλλον εἵνεκα, « non pas tant à cause de la justice », est la locution usuelle pour ἧττον τοῦ δικαίου ἕνεκα.

10-11. Εἰ δὲ.... κτησόμεθα, si nous nous faisons des ennemis de ceux qui, dans l'état actuel de nos relations (νῦν), nous auraient aidé à recouvrer Orope.

12. Τὸν Ὠρωπόν. La ville d'Oropos, située sur les frontières de l'Attique et de la Béotie, était la cause de querelles et de guerres sans cesse renouvelées entre Athènes et Thèbes. Depuis 366 les Thébains se trouvaient en possession de cette ville, et les Athéniens laissaient subsister cet état de choses. Mais ils réservaient leurs droits en attendant l'occasion de les faire valoir. Sparte leur promettait un secours efficace, à condition qu'ils la laisseraient libre d'arranger à son gré les affaires du Péloponnèse. Cf. K. O. Müller, *Orchomenos*, p. 411 sq. A. Schæfer, I, p. 92 sqq.

14-16. Νῦν est opposé a ὅτ' ἐκινδύνευον Λακεδαιμόνιοι. — Οὐδ' εἰπεῖν, pas même de dire. A plus forte raison n'ont-ils pas le droit de justifier cette prétention de Sparte.

17. Οὐ γὰρ ταῦτα λέγοντες, ce n'est pas en tenant ce langage.

πάντων Πελοποννησίων ἐλθόντων ὡς ὑμᾶς καὶ μεθ' ὑμῶν ἀξιούντων ἐπὶ τοὺς Λακεδαιμονίους ἰέναι, τοὺς μὲν μὴ προσδέξασθαι (καὶ διὰ τοῦθ', ὅπερ ἦν ὑπόλοιπον αὐτοῖς, ἐπὶ Θηβαίους ἦλθον), ὑπὲρ δὲ τῆς Λακεδαιμονίων σωτηρίας καὶ χρήματ' εἰσφέρειν καὶ τοῖς σώμασι κινδυνεύειν· οὐδ' ἂν ὑμεῖς ἠθελήσατε δήπου σῴζειν αὐτούς, εἰ τοῦτο προύλεγον ὑμῖν, ὅτι σωθέντες, ἐὰν μὴ ποιεῖν ὅ τι ⟨ἂν⟩ βούλωνται πάλιν αὐτοὺς ἐᾶτε καὶ ἀδικεῖν, οὐδεμίαν ὑμῖν χάριν ἕξουσι τῆς σωτηρίας. [13] Καὶ μὴν εἰ σφόδρ' ἐναντίον ἐστὶ τοῖς Λακεδαιμονίων ἐπιχειρήμασι τὸ τοὺς Ἀρκάδας ἡμᾶς συμμάχους ποιήσασθαι, προσήκει δήπου πλείω χάριν αὐτοὺς ἔχειν ὧν ἐσώθησαν ὑφ' ἡμῶν εἰς τοὺς ἐσχάτους ἐλθόντες κινδύνους ἢ ὧν ἀδικεῖν κωλύονται νῦν ὀργίζεσθαι. Ὥστε πῶς οὐ βοηθήσουσιν ἡμῖν ἐπ' Ὠρωπόν, ἢ κάκιστοι πάντων ἀνθρώπων δόξουσιν εἶναι; Μὰ τοὺς θεοὺς ἔγωγ' οὐχ ὁρῶ.

[14] Θαυμάζω τοίνυν καὶ τῶν λεγόντων τοῦτον τὸν λόγον, ὡς εἰ συμμάχους ποιησόμεθ' Ἀρκάδας καὶ ταῦτα πράξομεν, μεταβάλλεσθαι δόξει καὶ οὐδὲν ἔχειν πιστὸν ἡ πόλις. Ἐμοὶ μὲν γὰρ

NC. 3. πρὸς Θηβαίους Cobet. — 5. καίτοι οὐδ' vulg., par suite de la leçon vicieuse οἱ, p. 39, l. 17. — 7. ⟨ἂν⟩ Cobet. βούλωνται S. βούλονται vulg. — 8. χάριν ὑμῖν vulg. — εἰ καὶ vulg. — 10. ὑμᾶς S. — 13. ἡμῖν S. ὑμῖν vulg. — 14. μὰ S. ὁ μὰ vulg. — 15. καὶ ne se trouve que dans S. — τοῦτον τὸν λόγον S. τὸν λόγον τοῦτον vulg. — 16. Dobree voulait retrancher les mots συμμάχους ....καὶ. — 17. ἐμοὶ μὲν S. ἐμοὶ vulg.

1. Πάντων Πελοποννησίων ἐλθόντων ὡς ὑμᾶς. C'était en 370, peu de temps après la bataille de Leuctres. Les Péloponnésiens comprirent que l'heure de s'affranchir de la domination de Sparte était venue, et ils recherchèrent l'alliance d'Athènes. Les Athéniens refusèrent, et jetèrent ainsi les cités mécontentes du Péloponnèse dans les bras de Thèbes. Le parti laconien, qui avait eu alors assez de crédit pour faire adopter cette politique, est le même que Démosthène combat ici. Voir Diodore, XV, 62.

4. Ὑπὲρ δὲ τῆς Λακεδαιμονίων σωτηρίας. Cette seconde résolution ne fut prise qu'en 369, après la première invasion du Péloponnèse par Épaminondas. Voir Xénophon, *Helléniques*, VI, v, 33 sqq.

11. Ὧν ἐσώθησαν ὑφ' ἡμῶν, « de ce qu'ils ont été sauvés par nous, » équivaut à ὧν (τούτων ἃ) ὑμεῖς ἐποιήσατε ὑπὲρ τῆς αὐτῶν σωτηρίας. Cf. Eschyle, *Euménides*, 96 : Ὧν ἔκτανον ὄνειδος, pour τοῦ φόνου ὄνειδος. Aristophane, *Acharn.*, 677 : Ἀξίως ἐκείνων ὧν ἐναυμαχήσαμεν, pour ἀξίως τῆς ναυμαχίας.

13. La disjonctive ἢ ne fait aucune difficulté, quand on a compris que la négation οὐ, aussi bien que l'interrogatif πῶς, est commune aux deux membres de phrase. C'est comme s'il y avait πῶς οὐ ἢ βοηθήσουσιν.... ἢ κάκιστοι.... δόξουσιν εἶναι ; En français, on lierait la seconde phrase à la première par « à moins de » ou « sous peine de ».

16. Καὶ ταῦτα πράξομεν, « Subaudi ἃ ἐγὼ κελεύω. *Et hæc si agamus, quæ ego fieri volo.* » [Reiske.]

δοκεῖ τοὐναντίον, ὦ ἄνδρες Ἀθηναῖοι. Διὰ τί; Ὅτι τῶν πάντων οὐδέν' ἂν ἀντειπεῖν οἴομαι ὡς οὐ καὶ Λακεδαιμονίους καὶ πρότερον Θηβαίους καὶ τὸ τελευταῖον Εὐβοέας ἔσωσεν ἡ πόλις, καὶ μετὰ ταῦτα συμμάχους ἐποιήσατο, ἕν τι καὶ ταὔτ' ἀεὶ βουλομένη πράττειν. [15] Ἔστι δὲ τοῦτο τί; Τοὺς ἀδικουμένους σῴζειν. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, οὐκέτ' ἂν ἡμεῖς εἴημεν οἱ μεταβαλλόμενοι, ἀλλ' οἱ μὴ 'θέλοντες τοῖς δικαίοις ἐμμένειν, 206 καὶ φανήσεται τὰ πράγματα διὰ τοὺς ἀεὶ πλεονεκτεῖν βουλομένους μεταβαλλόμενα, οὐχ ἡ πόλις ἡμῶν.

[16] Δοκοῦσι δέ μοι Λακεδαιμόνιοι μάλα δεινῶν ἔργον ἀνθρώπων ποιεῖν. Νῦν γάρ φασιν ἐκεῖνοι δεῖν Ἠλείους μὲν τῆς Τριφυλίας τινὰ κομίσασθαι, Φλιασίους δὲ τὸ Τρικάρανον, ἄλλους δέ τινας τῶν Ἀρκάδων τὴν αὑτῶν, καὶ τὸν Ὠρωπὸν ἡμᾶς, οὐχ ἵν' ἑκάστους ἡμῶν ἴδωσιν ἔχοντας τὰ αὑτῶν, οὐδ' ὀλίγου δεῖ· ὀψὲ γὰρ ἂν φιλάνθρωποι γεγονότες εἶεν· [17] ἀλλ' ἵνα πᾶσι δοκῶσι

NC. 1. τῶν πάντων S. τῶν ἁπάντων vulg. — 2. ἂν avant ἀντειπεῖν est omis dans la vulgate. — 4. καί, après τι, est ajouté dans S par une main ancienne. — ἀεὶ βουλομένη vulg. βουλομένη ἀεὶ S. — 6. ταῦθ' S. seul. τοῦθ' vulg. — 8. διὰ τοὺς ἀεὶ vulg. ἀεὶ διὰ τοὺς S. — 10-11. ἔργον ἀνθρώπων vulg., ainsi qu'Hermogène et Aristide dans les *Rhetores* de Walz, t. III, p. 333, et t. IX, p. 367. ἀνθρώπων ἔργον S seul et les derniers éditeurs. — 11. νῦν S seul. νυνὶ vulg. — 14. ἑκάστους Ἑλλήνων Tournier, *l. c.* p. 12. — 15. γένοιντο S seul. γεγονότες εἶεν vulg. et marge de S.

2-3. Καὶ Λακεδαιμονίους.... ἔσωσεν ἡ πόλις. Athènes sauva les Lacédémoniens, quand ils eurent à défendre leur existence même contre Épaminondas et les Thébains. (Cf. § 12.) Auparavant, en 379, Pélopidas avait délivré sa patrie avec le secours de ses amis d'Athènes, et, en 378, les hoplites d'Athènes étaient venus couvrir Thèbes, et avaient forcé Agésilas à la retraite. (Cf. Xénophon, *Helléniques*, V, 4, et Diodore, XV, 32.) Enfin, en 357, des troupes athéniennes, envoyées sur la proposition de Timothée, forcèrent les Thébains d'évacuer l'île d'Eubée. (Cf. *Chersonèse*, 74, Diodore, XVI, 7.)

10. Δεινῶν. Cet adjectif a ici le sens d'« habile ». Les Lacédémoniens sont désignés comme πλεονεκτεῖν βουλόμενοι (l. 8). On voit que le § 16 se rattache au § 15, et qu'il ne faut rien transposer. Cf. p. 33, note 1.

11-12. Τῆς Τριφυλίας. Depuis longtemps les Éléens et les Arcadiens se disputaient ce pays, de même qu'Athènes et Thèbes se disputaient Orope (§ 11). Pour ne pas remonter plus haut que la fin de la guerre du Péloponnèse, nous ne citerons que Xénophon, *Hell.*, III, II, 30; VI, V, 2; VII, I, 26; VII, IV, 12 sqq. — Τὸ Τρικάρανον. Cette forteresse, alors au pouvoir d'Argos (cf. Xénophon, *Hell.*, VII, IV, 11), était réclamée par Phlionte.

14-15. Οὐδ' ὀλίγου δεῖ équivaut à πολλοῦ δεῖ, ou bien à οὐδ' ἐγγύς. Cf. *Chersonèse*, § 42. — Ὀψὲ... γεγονότες εἶεν. Démosthène dit que ce serait une chose toute nouvelle que de voir Sparte humaine et bonne sans arrière-pensée intéressée.

15-2. A ce premier ἵνα est subordonné un second ἵνα (p. 42, l. 2). Le retour de la même conjonction ne choquait pas les Grecs.

συμπράττειν ὅπως ἕκαστοι κομίσωνται ταῦθ' ἅ φασιν αὑτῶν εἶναι, ἵν', ἐπειδὰν ἴωσιν ἐπὶ Μεσσήνην αὐτοί, συστρατεύωνται πάντες αὐτοῖς οὗτοι καὶ βοηθῶσι προθύμως, ἢ δοκῶσιν ἀδικεῖν, περὶ ὧν ἔφασαν ἕκαστοι σφῶν αὐτῶν εἶναι συμψήφους λαβόντες ἐκείνους, μὴ τὴν ὁμοίαν αὐτοῖς [χάριν] ἀποδιδόντες. [18] Ἐγὼ δὲ νομίζω τὴν πόλιν πρῶτον μέν, καὶ χωρὶς τοῦ καθυφεῖναί τινας Λακεδαιμονίοις Ἀρκάδων, Ὠρωπὸν ἂν κομίσασθαι, καὶ μετ' ἐκείνων, ἂν τὰ δίκαια ποιεῖν ἐθέλωσι, καὶ μετὰ τῶν ἄλλων τῶν οὐκ οἰομένων δεῖν Θηβαίους ἐᾶν ἔχειν τὰ ἀλλότρια. Εἰ δ' ἄρα τοῦτ' εὔδηλον ἡμῖν γένοιτο, ὅτι μὴ Λακεδαιμονίους ἐῶντες τὴν Πελοπόννησον καταστρέψασθαι οὐχ οἷοί τ' ἐσόμεθ' Ὠρωπὸν λαβεῖν, αἱρετώτερον, εἰ οἷόν τ' εἰπεῖν, ἡγοῦμαι τὸν Ὠρωπὸν ἐᾶν ἢ Λακεδαιμονίοις Μεσσήνην προέσθαι καὶ Πελοπόννησον. Οὐ γὰρ ἂν ἡγοῦμαι περὶ τούτου μόνον ἡμῖν εἶναι τὸν λόγον πρὸς ἐκείνους· ἀλλ' — ἐάσω τό γ' ἐπελθὸν εἰπεῖν μοι, περὶ πολλῶν δ' ἂν οἶμαι κίνδυνον ἡμῖν γενέσθαι.

NC. 1-2. ὅπως S seul. ὅπως ἄν vulg. — κομιοῦνται et εἶτ', ἐπειδὰν Tournier. — καὶ αὐτοὶ vulg. — 4. [χάριν] Cobet. — 7. Λακεδαιμονίοις τινὰς vulg. — 8-9. Tous les manuscrits, sauf S, insèrent entre καὶ et μετὰ τῶν ἄλλων le participe βοηθούντων, qui est une glose explicative de μετά. — 14-16. οὐ γὰρ.... εἰπεῖν μοι. Hermogène, *l. c.* p. 346, en donnant des exemples de l'aposiopèse, cite ce passage ainsi qu'il suit : οὐ γὰρ περὶ τούτων · ἀλλ' ἐάσω τὸ γ' ἐπελθὸν εἰπεῖν μοι. On croit qu'il s'est trompé en citant de mémoire. Cela n'est pas absolument sûr. Si l'on adoptait sa leçon, il faudrait aussi retrancher la phrase περὶ πολλῶν.... γενέσθαι.

3. Ἢ δοκῶσιν.... La conjonction ἤ est employée ici comme au § 13. Construisez : ἢ δοκῶσιν ἀδικεῖν μὴ ἀποδιδόντες αὐτοῖς (en ne leur rendant pas) τὴν ὁμοίαν, λαβόντες (après avoir eu) ἐκείνους συμψήφους περὶ ὧν (c'est-à-dire, περὶ τῶν χωρίων ἃ) ἕκαστοι ἔφασαν εἶναι σφῶν αὐτῶν.

7. Ἀρκάδων. Ce génitif est gouverné par τινας.

8. Μετ' ἐκείνων, avec l'assistance des Lacédémoniens.

10-11. Εἰ δ(έ). Ces conjonctions servent ici de corrélatifs à πρῶτον μέν, l. 6. — Μὴ.... ἐῶντες, si nous ne laissons pas, à moins de laisser. Οὐκ ἐῶντες signifierait : « comme nous ne laissons pas. »

12. Εἰ οἷόν τ' εἰπεῖν, si j'ose le dire. L'assertion de Démosthène choque le sentiment du peuple, qui tenait beaucoup à reprendre Orope.

14. Περὶ τούτου μόνον. Il ne s'agirait pas seulement de savoir si les Lacédémoniens seront maîtres du Péloponnèse, mais — Démosthène allait dire : « si nous serons en sécurité chez nous » ; mais il s'arrête, afin de ne pas prononcer des paroles de mauvais augure, et il se contente de dire περὶ πολλῶν.... H. Wolf a compris que tel était le sens de ce passage. Depuis on a voulu rapporter les mots περὶ τούτου à Orope : évidemment à tort. Cf. le § 22, où l'orateur s'exprime avec moins de réserve.

15. Εἰπεῖν. Cet infinitif est gouverné par ἐπελθόν.

[19] Ἀλλὰ μὴν ἅ γέ φασι πεπρᾶχθαι διὰ Θηβαίους τοῖς Με- 207
γαλοπολίταις ὑπεναντία πρὸς ἡμᾶς, ἄτοπον νῦν [μὲν] ἐν κατηγορίας μέρει ποιεῖσθαι, βουλομένων δὲ γενέσθαι φίλων αὐτῶν, ἵνα τοὐναντίον εὖ ποιῶσιν ἡμᾶς, βασκαίνειν καὶ σκοπεῖν ἐξ ὅτου τρόπου μὴ γενήσονται, καὶ μὴ γιγνώσκειν ὅτι, ὅσῳ ἂν σπουδαιοτέρους τούτους περὶ Θηβαίους γεγενημένους ἀποδείξωσιν, τοσούτῳ πλείονος ὀργῆς αὐτοὶ δικαίως ἂν τυγχάνοιεν, εἰ τοιούτων συμμάχων τὴν πόλιν, ὅτ' ἐφ' ὑμᾶς προτέρους ἦλθον ἢ Θηβαίους, ἀπεστέρησαν. [20] Ἀλλ', οἶμαι, ταῦτα μέν ἐστι δεύτερον ἀνθρώπων βουλομένων ἑτέρων ποιῆσαι τούτους συμμάχους. Ἐγὼ δ' οἶδα, ὅσ' ἂν ἐκ λογισμοῦ σκοπῶν τις εἰκάσαι, καὶ τοὺς πολλοὺς οἶμαι ὑμῶν ἐμοὶ ταὐτὰ φήσειν, ὅτι, εἰ λήψονται Μεγάλην πόλιν Λακεδαιμόνιοι, κινδυνεύσει Μεσσήνη· εἰ δὲ καὶ ταύτην λήψονται, φήμ' ἡμᾶς ἔσεσθαι συμμάχους Θηβαίων. [21] Πολὺ δὴ κάλλιον καὶ ἄμεινον τὴν μὲν Θηβαίων συμμαχίαν αὐτοὺς παραλαβεῖν, τῇ δὲ Λακεδαιμονίων πλεονεξίᾳ μὴ ἐπιτρέψαι, ἢ νῦν ὀκνοῦντας μὴ τοὺς Θηβαίων σώσωμεν συμμάχους, τούτους μὲν προέσθαι, πάλιν δὲ σῴζειν αὐτοὺς τοὺς Θηβαίους, καὶ προσέτ' ἐν φόβῳ καθεστάναι περὶ ἡμῶν αὐτῶν.

NC. 2. ἡμᾶς S. ὑμᾶς vulg. De même ligne 4. — J'ai mis μὲν entre crochets. Νῦν μὲν n'est pas opposé à βουλομένων δὲ, mais à ὅτ'.... ἦλθον, l. 8. — 10. ἑτέροις Tournier, *l. c.*, p. 21. — Pour τούτους S. porte τοὺς. — 11. οἶδα manque dans la vulgate. — 12. οἶμαι ὑμῶν ἐμοὶ ταυτὰ φήσειν S. ὑμῶν οἴομαι ταῦτα φῆσαι vulg. — 13. κίνδυνος μεσσήνηι A[1]. — 14. ἡμᾶς S. ὑμᾶς vulg. — 15. μὲν manque dans la vulgate. — 16-17. ἐπιτρέψαι S. ἐπιτρέπειν vulg.

1-2. Ἅ γέ φασι.... πρὸς ἡμᾶς. Il s'agit évidemment du temps d'Épaminondas, alors que Mégalopolis était l'alliée de Thèbes, et qu'Athènes tenait pour Sparte.—Νῦν. Cf. *NC*.

8. Ὅτ' ἐφ' ὑμᾶς.... ἢ Θηβαίους, quand ils s'adressèrent à nous avant de s'adresser aux Thébains. Voir les faits rappelés au § 12, et la note.

9-10. Δεύτερον et, plus loin, ἑτέρων sont des mots importants mis en évidence en tête du groupe de mots dont ils font partie. Bien prononcée la phrase n'offre point d'obscurité. Démosthène dit : « Dénigrer ainsi les Mégalopolitains, c'est se conduire en hommes qui veulent une seconde fois les obliger à chercher une autre alliance. »

14. Φημ(ί) ἡμᾶς.... Θηβαίων, Quand Sparte sera devenue plus redoutable que Thèbes, les Athéniens se rangeront du côté de cette dernière ville, afin de rétablir l'équilibre hellénique.

15-16. Θηβαίων συμμαχίαν équivaut ici à Θηβαίων συμμάχους, « les alliés de Thèbes, » c'est-à-dire les Mégalopolitains. Cf. Thucydide, I, 19 : Μετὰ ἀκραιφνοῦς τῆς ξυμμαχίας. Eschyle, *Agam.* 213 : Πῶς λιπόναυς γένωμαι ξυμμαχίας ἁμαρτών; — Αὐτοὺς est opposé à Θηβαίων.

16-17. Ἐπιτρέψαι, sans infinitif complémentaire, veut dire ici « laisser le champ libre ».

[22] Οὐ γὰρ ἔγωγ' ἀδεὲς τοῦθ' ὑπολαμβάνω τῇ πόλει, τὸ λαβεῖν Μεγάλην πόλιν Λακεδαιμονίους καὶ πάλιν γενέσθαι μεγάλους. Ὁρῶ γὰρ αὐτοὺς καὶ νῦν οὐχ ὑπὲρ τοῦ μὴ παθεῖν τι κακὸν πολεμεῖν αἱρουμένους, ἀλλ' ὑπὲρ τοῦ κομίσασθαι τὴν πρότερον οὖσαν αὐτοῖς δύναμιν· ὧν δ', ὅτ' ἐκείνην εἶχον, ὠρέγοντο, ταῦθ' ὑμεῖς μᾶλλον ἴσως εἰδότες ἢ 'γὼ φοβοῖσθ' ἂν εἰκότως.

[23] Ἡδέως δ' ἂν πυθοίμην τῶν λεγόντων καὶ τοὺς Θη-
208 βαίους μισεῖν φασκόντων καὶ τοὺς Λακεδαιμονίους, πότερ' ἑκάτεροι μισοῦσιν, οὓς δὴ μισοῦσιν, ὑπὲρ ὑμῶν καὶ τοῦ συμφέροντος ὑμῖν, ἢ ὑπὲρ Λακεδαιμονίων μὲν Θηβαίους, ὑπὲρ δὲ Θηβαίων Λακεδαιμονίους ἑκάτεροι· εἰ μὲν γὰρ ὑπὲρ ἐκείνων, οὐδετέροις ὡς μαινομένοις πείθεσθαι προσήκει· εἰ δ' ὑπὲρ ὑμῶν φήσουσιν, τί πέρα τοῦ καιροῦ τοὺς ἑτέρους ἐπαίρουσιν; [24] Ἔστι γάρ, ἔστι Θηβαίους ταπεινοὺς ποιεῖν ἄνευ τοῦ Λακεδαιμονίους ἰσχυροὺς καθιστάναι, καὶ πολύ γε ῥᾷον· ὡς δέ, ἐγὼ πειράσομαι πρὸς ὑμᾶς εἰπεῖν. Ἴσμεν ἅπαντες τοῦθ', ὅτι τὰ μὲν δίκαια πάντες, ἐὰν καὶ μὴ βούλωνται, μέχρι τού γ' αἰσχύνονται μὴ πράτ-

NC. 3. νῦν S. νυνὶ vulg. — 4. πολεμεῖν αἱρουμένους S et Vœmel. πόλεμον ἀράμενους vulg. — 5. πρότερον vulg. προτέραν S seul et Vœmel. — 6. Pour φοβοῖσθ', S porte φοβεῖσθ'. — 9-10. Pour τῶν λεγόντων.... Λακεδαιμονίους G. H. Schæfer proposait καὶ τῶν Θηβαίους μισεῖν φασκόντων καὶ τῶν Λακεδαιμονίους, en faisant observer que λέγειν est la glose habituelle de φάσκειν. Voir la note explicative. — 9 πότερα S. πότερα δὴ vulg. — 11. Λακεδαιμονίων μὲν S seul et Vœmel. μὲν Λακεδαιμονίων vulg. — 13. ὑμῶν S. ἡμῶν vulg. — 14. Pour πέρα, S porte πέραι. Vœmel πέρᾳ. — ἔστιν S. — 16. καθιστάναι S. καθεστάναι vulg. — πολύ S. πάνυ vulg. — ὅπως δὲ Cobet. — 18. μέχρι του S. μέχρι τούτου vulg.

4. Πολεμεῖν αἱρουμένους, se décidant à faire la guerre quand ils seraient libres de rester en paix.

6. Ὑμεῖς μᾶλλον ἴσως εἰδότες. Le jeune orateur s'adresse aux citoyens plus âgés, qui avaient vu eux-mêmes quelles étaient les prétentions de Sparte du temps de son hégémonie.

8-9. Ἡδέως δ' ἂν.... Λακεδαιμονίους, je demanderais volontiers à ceux qui parlent à cette tribune, et qui font profession de haïr les Thébains et (ou) les Lacédémoniens. Les Grecs se servent quelquefois de καί, où nous attendrions ἤ : cf. Περὶ συντάξεως, § 1 : Χρείας καὶ περιουσίας. — Vœmel et d'autres veulent que l'on construise : τῶν λεγόντων (des orateurs), φασκόντων μισεῖν καὶ.... καὶ.... Cette construction ne serait admissible que si l'article τῶν était répété avant le second participe. La phrase de Démosthène prend ici une familiarité, un abandon, qu'il ne faut pas méconnaître.

13. Ὡς μαινομένοις. La folie consiste dans l'aveu public que l'orateur leur prête dans la première partie de son dilemme.

16. Ὡς δέ équivaut ici à ὅπως δέ.

τειν, τοῖς δ' ἀδίκοις ἐναντιοῦνται φανερῶς, ἄλλως τε κἂν τινες βλάπτωνται· καὶ τοῦτο λυμαινόμενον πάνθ' εὑρήσομεν, καὶ ταύτην ἀρχὴν οὖσαν πάντων τῶν κακῶν, τὸ μὴ 'θέλειν τὰ δίκαια πράττειν ἁπλῶς. [25] Ἵνα τοίνυν μὴ τοῦτ' ἐμποδὼν γένηται τῷ Θηβαίους γενέσθαι μικρούς, τὰς μὲν Θεσπιὰς καὶ τὸν Ὀρχομενὸν καὶ τὰς Πλαταιὰς κατοικίζεσθαι φῶμεν δεῖν, καὶ συμπράττωμεν αὐτοῖς, καὶ τοὺς ἄλλους ἀξιῶμεν (ταῦτα γὰρ καὶ καλὰ καὶ δίκαια, μὴ περιορᾶν πόλεις ἀρχαίας ἐξανεστώσας), τὴν δὲ Μεγάλην πόλιν καὶ τὴν Μεσσήνην μὴ προώμεθα τοῖς ἀδικοῦσι, μηδ' ἐπὶ τῇ προφάσει τῇ Πλαταιῶν καὶ Θεσπιῶν τὰς οὔσας καὶ κατοικουμένας πόλεις ἀναιρεθείσας περιίδωμεν. [26] Κἂν ᾖ ταῦτα πρόδηλα, οὐδεὶς ὅστις οὐ βουλήσεται παύσασθαι Θηβαίους ἔχοντας τὴν ἀλλοτρίαν· εἰ δὲ μή, πρῶτον μὲν ἐναντίους ἕξομεν πρὸς ἐκεῖνα τούτους εἰκότως, ὅταν ἡγῶνται τὴν ἐκείνων κατοίκισιν αὑτοῖς ὄλεθρον φέρειν, εἶτ' ἀνήνυτα 209
πράγμαθ' ἕξομεν αὐτοί· τί γὰρ ὡς ἀληθῶς ἔσται πέρας, ὅταν ἀεὶ τὰς μὲν οὔσας πόλεις ἐῶμεν ἀναιρεῖν, τὰς δ' ἀνῃρημένας ἀξιῶμεν οἰκίζειν;

NC. 1. ἀδίκοις S. ἀδικοῦσιν vulg. — 2. τοῦτο S. τοῦτο τὸ vulg. — 5. τῷ S. τὸ τοὺς vulg. — 7. συμπράττωμεν αὐτοὶ *Feliciana*. Il semble plus nécessaire de marquer le complément que l'antithèse. — 8. καὶ avant καλὰ manque dans la vulgate. — 10. πλατεων καὶ θεσπιων S. Θεσπιῶν καὶ Πλαταιῶν vulg. Cf. § 4. — 12. ταῦτα πρόδηλα S. πρόδηλα ταῦτα vulg. — 15. κατοίκισιν Wolf. κατοίκησιν manuscrits.

1. Ἄλλως τε κἂν τινες βλάπτωνται, équivaut à ἄλλως δὲ καὶ οἵτινες ἂν βλάπτωνται. « Et s'il en est qui souffrent de l'injustice, ce sont ceux là qui s'y opposent surtout. »

2. Τοῦτ(ο) : c'est-à-dire τὸ μὴ ἐθέλειν τὰ δίκαια πράττειν ἁπλῶς. [H. Wolf.]

7. Αὐτοῖς, aux citoyens des villes que l'orateur vient de nommer. En parlant d'une cité, les anciens songeaient à l'ensemble des citoyens, plutôt qu'à l'agglomération des maisons. Cf. Thucydide, I, 136 : Ὁ δὲ Θεμιστοκλῆς.... φεύγει.... ἐς Κέρκυραν, ὢν αὐτῶν εὐεργέτης. Isocrate, *Antidose*, § 155 : Γοργίας ὁ Λεοντῖνος.... διατρίψας μὲν περὶ Θετταλίαν, ὅτ' εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν. — Ἀξιῶμεν, suppléez συμπράττειν αὐτοῖς.

10-11. Μηδ' ἐπὶ τῇ προφάσει.... περιίδωμεν. Le parti laconien prétendait que, sans l'alliance de Sparte, Athènes ne pouvait restaurer Platées et Thespies, et que cette alliance n'était possible qu'au prix de l'abandon de Mégalopolis et de Messène. Démosthène dit qu'il ne faut pas sacrifier ces dernières villes sous prétexte de vouloir rétablir les villes détruites de la Béotie. [G. H. Schæfer.]

12. Κἂν ᾖ ταῦτα πρόδηλα, et s'il est manifeste que nous voulons la justice partout et pour tous.

14. Ἐναντίους ἕξομεν πρὸς ἐκεῖνα τούτους, notre dessein de restaurer Thespies, Platées et Orchomène trouvera des adversaires dans les Arcadiens et les Messéniens, convaincus qu'ils seront que leur

[27] Λέγουσι τοίνυν οἱ μάλιστα δοκοῦντες δίκαια λέγειν ὡς δεῖ τὰς στήλας καθελεῖν αὐτοὺς τὰς πρὸς Θηβαίους, εἴπερ ἡμέτεροι βεβαίως ἔσονται σύμμαχοι. Οἱ δέ φασι μὲν αὐτοῖς οὐκ εἶναι στήλας, ἀλλὰ τὸ συμφέρον εἶναι τὸ ποιοῦν τὴν φιλίαν, τοὺς δὲ βοηθοῦντας ἑαυτοῖς, τούτους νομίζειν εἶναι συμμάχους. Ἐγὼ δ', εἰ τὰ μάλιστ' εἰσὶ τοιοῦτοι, ὡδί πως ἔχω. Φημὶ δεῖν ἅμα τούτους ἀξιοῦν καθαιρεῖν τὰς στήλας καὶ Λακεδαιμονίους ἄγειν εἰρήνην, ἐὰν δὲ μὴ 'θέλωσι ποιεῖν ὁπότεροι ταῦτα, τότ' ἤδη μετὰ τῶν ἐθελόντων ἡμᾶς γίγνεσθαι. [28] Εἴτε γὰρ εἰρήνης γιγνομένης αὐτοῖς οἱ Μεγαλοπολῖται [ἔτι] τῆς Θηβαίων συμμαχίας ἕξονται, φανεροὶ πᾶσιν ἔσονται τὴν πλεονεξίαν τὴν Θηβαίων, οὐ τὸ δίκαιον αἱρούμενοι· εἴτε, συμμάχους ἡμᾶς ἀδόλως τῶν Μεγαλοπολιτῶν ποιουμένων, μὴ 'θελήσουσιν ἄγειν εἰρήνην οἱ Λακεδαιμόνιοι, δῆλοι δήπου πᾶσιν ἔσονται, οὐχ ἵνα Θεσπιαὶ κατοικισθῶσι [μόνον] ποιούμενοι τὴν σπουδήν, ἀλλ' ἵνα, τοῦ πολέμου περιεστηκότος Θηβαίοις, τὴν Πελοπόννησον ὑφ' αὑτοῖς ποιήσωνται. [29] Θαυμάζω δ' ἐνίων, εἰ τὸ μὲν Θηβαίων συμμάχους εἶναι τοὺς Λακεδαιμονίων ἐχθροὺς φοβοῦνται, εἰ δὲ

NC. 2. αὐτοὺς manque dans la vulgate. — 3-4. Probablement οὐ στήλας, en supprimant le premier εἶναι, d'après la conjecture de Dobree. — 5. τούτους S. τούτους τε vulg. — 10. ἔτι. Ce mot, qui manque dans un manuscrit, et qui se trouve placé entre les lettres αι et τη, est jugé parasite par Benseler, *de Hiatu*, p. 67. — 11. Après φανεροὶ la vulgate ajoute δήπου. Cf. l. 14. — 15. μόνον manque dans la vulgate. — 16. Après τοῦ πολέμου, tous les manuscrits, sauf S, ajoutent τούτου.

salut dépend de la grandeur de Thèbes. Reiske a compris que τούτους désignait les Mégalopolitains.

2. Τὰς στήλας.... τὰς πρὸς Θηβαίους. Les monuments sur lesquels la cité de Mégalopolis avait gravé son traité d'alliance avec Thèbes.

3-4. Αὐτοῖς οὐκ εἶναι στήλας,... τὴν φιλίαν, qu'à leurs yeux ce n'étaient pas les pierres, que c'était l'intérêt qui faisait les alliances. Le premier εἶναι a induit en erreur le scholiaste, et trompera tout lecteur non prévenu. Les répétitions pathétiques n'ont pas cette tournure chez les orateurs grecs. Cf. *NC*.

6. Εἰ τὰ μάλιστ' εἰσὶ τοιοῦτοι, « si « vel maxime tales sunt, sc. quales se esse « dicunt. » [G. H. Schæfer.] — Ὡδί πως ἔχω : sous-entendu γνώμης.

8. Ὁπότεροι, les uns ou les autres.

12-13. Ἀδόλως, sans arrière-pensée. Dobree cite Xénophon, *Hellén.*, II, IV, 5-6 (Ὤμοσε.... ἦ μὴν πράξειν ἀδόλως τὴν εἰρήνην), et d'autres passages qui semblent prouver que ἀδόλως était un terme consacré dans la langue diplomatique des Grecs.

16. Τοῦ πολέμου περιεστηκότος Θηβαίοις, la guerre (la guerre Sacrée) enveloppant les Thébains. Le verbe περιίστασθαι se construit indifféremment avec le datif ou avec l'accusatif. Cf. *Amb.* § 340.

17-1. Εἰ τὸ μέν... φοβοῦνται, si

καταστρέψονται Λακεδαιμόνιοι τούτους, μηδὲν ἡγοῦνται φοβερόν, καὶ ταῦτ' ἔργῳ πεῖραν ἡμῖν δεδωκότος τοῦ χρόνου ὅτι Θηβαῖοι μὲν τούτοις συμμάχοις ἐπὶ Λακεδαιμονίους ἀεὶ χρῶν- 210 ται, Λακεδαιμόνιοι δ' ὅτ' εἶχον αὐτούς, ἐφ' ἡμᾶς ἐχρῶντο.

[30] Οἶμαι τοίνυν ἔγωγε κἀκεῖν' ἐνθυμεῖσθαι δεῖν, ὅτι μὴ προσδεξαμένων μὲν ὑμῶν τοὺς Μεγαλοπολίτας, ἐὰν μὲν αναιρεθῶσι καὶ διοικισθῶσιν, ἰσχυροῖς Λακεδαιμονίοις ἔστιν εὐθὺς εἶναι, ἐὰν δὲ σωθῶσιν ἄρα, ὡς ἤδη τι καὶ παρ' ἐλπίδας ἐξέβη, βέβαιοι σύμμαχοι Θηβαίων δικαίως ἔσονται· ἂν δὲ προσδέξησθε, τούτοις μὲν ὑπάρξει ἤδη σωθῆναι δι' ὑμᾶς, τὸ δὲ συμβησόμενον, [καὶ] τὸν τοῦ κινδύνου λογισμὸν μετενεγκόντες, σκοπῶμεν ἐπὶ Θηβαίων καὶ Λακεδαιμονίων. [31] Ἂν μὲν τοίνυν καταπολεμηθῶσιν οἱ Θηβαῖοι, ὥσπερ αὐτοὺς δεῖ, οὐκ ἔσονται μείζους τοῦ δέοντος οἱ Λακεδαιμόνιοι, τούτους ἔχοντες ἀντιπάλους τοὺς Ἀρκάδας ἐγγὺς οἰκοῦντας. Ἂν δ' ἀνενέγκωσιν ἄρ' οἱ Θηβαῖοι καὶ σωθῶσιν, ἀλλ' οὖν ἀσθενέστεροί γ' ἔσονται, ἡμῖν συμμάχων γεγενημένων τῶνδε καὶ δι' ἡμᾶς σεσωμένων. Ὥστε

NC. 1. τούτους S. τούτους αὐτοὺς vulg. — 7-8. ἔστιν εὐθὺς εἶναι S. εὐθὺς ἐστὶν εἶναι vulg. — 10. Reiske et Benseler tiennent ἤδη pour suspect. Peut-être : δή. — 11. καὶ manque dans un manuscrit. Nous pensons, avec Dobree, que ce mot est interpolé. On pourrait aussi écrire : καὶ μετενεγκόντες τὸν τοῦ κινδύνου λογισμόν. — 16. σωθῶσι καὶ μὴ πέσωσιν vulg. — σεσωμένων S, au témoignage de Cobet. σεσωσμένων vulg.

δὲ καταστρέψονται. Cette dernière phrase dépend de μηδὲν ἡγοῦνται φοβερόν. Les deux εἰ ne sont pas corrélatifs. — Démosthène reproche au parti laconien d'exagérer le danger, au fond peu sérieux pour Athènes, d'une alliance entre Thèbes et Mégalopolis, au lieu de s'inquiéter de la domination, bien autrement redoutable, que Sparte prétend de nouveau exercer sur le Péloponnèse.

2. Τοῦ χρόνου, le passé, l'histoire.

4. Ὅτ' εἶχον αὐτούς, quand ils étaient les maîtres de l'Arcadie.

7. Διοικισθῶσιν. Près de quarante communes rurales (κῶμαι) avaient fourni la population de Mégalopolis, centre politique de l'Arcadie régénérée. Cf. Diodore, XV, 72 ; Pausanias, VIII, XXVII, 1 et 2. Cette centralisation s'appelait συνοικισμός. Sparte voulait détruire cette union, et rétablir l'autonomie des petites communes, διοικίζειν.

10-12. Τὸ δὲ συμβησόμενον.... Λακεδαιμονίων, mais voyons, en appliquant à d'autres (μετενεγκόντες) l'examen des dangers (éventuels), ce qui arrivera pour les Thébains et pour les Lacédémoniens.

13. Ὥσπερ αὐτοὺς δεῖ. Cf. § 25.

15. Ἐγγὺς οἰκοῦντας. La ville de Mégalopolis, fondée pour contenir l'ambition des Lacédémoniens, avait été bâtie près de leurs frontières. — Ἀνενέγκωσιν. Le verbe ἀναφέρειν signifie quelquefois « revenir à soi, reprendre des forces ». Cf. Plutarque, *Romulus*, 18 : Ἐκ τῆς πληγῆς ἀναφέρων. — Ἄρ(α). Cette particule indique que Démosthène considère cette autre éventualité comme moins probable. Cf. l. 7, et la note sur le § 5 du discours *sur les Symmories*.

πανταχῇ συμφέρει μήτε προέσθαι τοὺς Ἀρκάδας, μήτε δι' αὐτούς, ἂν ἄρα σωθῶσι, περιγεγονέναι δοκεῖν μήτε δι' ἄλλους τινάς, ἀλλὰ δι' ὑμᾶς.

[32] Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὰ τοὺς θεοὺς οὔτε φιλῶν οὐδετέρους οὔτε μισῶν ἰδίᾳ εἴρηκα, ἀλλ' ἃ νομίζω συμφέρειν ὑμῖν· καὶ παραινῶ μὴ προέσθαι Μεγαλοπολίτας, μηδ' ἄλλον ἁπλῶς μηδένα τῶν ἐλαττόνων τῷ μείζονι.

NC. 1-2. Afin de rendre la construction plus régulière, Dobree proposait προεῖσθαι, Tournier, *l. c.*, p. 1, δι' αὐτοὺς ἂν <αὐτούς, ἂν> ἄρα. — δοκεῖν μήτε S. δοκεῖν μηδὲ vulg. — 4. οὖν manque dans la vulgate. — 5. Pour ἀλλ' ἃ νομίζω, Dobree voulait : ἀλλὰ νομίζων. — 7. ἄλλον S. ἄλλων vulg.

1-2. Μήτε.... δοκεῖν. L'accusatif τοὺς Ἀρκάδας, qui était le régime de προέσθαι, devient ici le sujet de περιγεγονέναι. Nous dirions : « ni de faire en sorte qu'ils semblent devoir leur salut à eux-mêmes ou à d'autres que nous. »

5. Ἀλλ' ἃ νομίζω συμφέρειν ὑμῖν. Ces mots sont opposés à οὔτε μισῶν οὔτε φιλῶν. En français, il faudrait donner le même tour aux deux membres de phrase, ou bien se servir de deux verbes différents : « Je n'ai pas parlé.... mais j'ai dit.... » Les Grecs n'évitaient pas la diversité des tours dans les membres de phrase coordonnés.

ΥΠΕΡ

ΤΗΣ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ

4.

NOTICE.

Au témoignage de Denys d'Halicarnasse[1], la harangue *Pour la liberté des Rhodiens* fut prononcée dans la deuxième année de la cent-septième Olympiade, en 351 ou 350 avant J. C. Cette harangue est donc postérieure au discours *Pour Mégalopolis* et même à la *I*re *Philippique*. Cependant elle se trouve, dans les manuscrits, placée immédiatement après le discours *Sur les symmories*, auquel la rattache un lien évident ; en effet, les deux discours roulent en grande partie sur la politique à suivre à l'égard de l'empire perse. Nous avions adopté cet ordre dans la première édition ; mais nous pensons aujourd'hui qu'il vaut mieux suivre, autant que possible, l'ordre chronologique.

Après avoir terminé les grands armements qui effrayèrent tant la Grèce, et qui donnèrent lieu au discours qui précède, Artaxerce essaya de reconquérir la Phénicie et l'Égypte. Il prit Sidon[2] ; mais il fut repoussé par les Égyptiens, et le bruit de sa défaite venait de se répandre à Athènes[3], quand l'affaire des Rhodiens fut soumise aux délibérations du peuple. Il y avait sept ans que Rhodes s'était soulevée contre Athènes en même temps que Cos, Chios et Byzance. Cette guerre, qu'on appelle la guerre Sociale, porta, à ces démocraties confédérées, un coup tout aussi funeste qu'à la puissance d'Athènes. Byzance seule échappa à la réaction oligarchique, qui triompha dans les autres cités, où Mausole de Carie la favorisa dans son propre intérêt. Ce prince, tributaire du roi de Perse, avait envoyé des troupes pour soutenir le mouvement, et il ne les retira pas quand le mouvement fut accompli : les citadelles de Cos et de Rhodes gardèrent des garnisons cariennes[4]. A Rhodes les excès de la démocratie[5] avaient jeté les citoyens aisés du parti populaire dans les bras des oligarques[6]. Mais cette alliance ne dura pas. Chassés de leur patrie, les hommes les plus considérables de la démocratie rhodienne demandèrent aide et protection au peuple d'Athènes. Accueillerait-on cette demande ? accorderait-on aux exilés des secours, afin de rétablir dans Rhodes le régime populaire ? Telle était la question qui se posait.

1. Denys d'Halicarnasse, *Lettre à Ammée*, I, 4, 3 : Ἐπὶ δὲ Θεέλλου τοῦ μετ' Ἀριστόδημον τὴν περὶ Ῥοδίων ἀπήγγειλε δημηγορίαν, ἐν ᾗ πείθει τοὺς Ἀθηναίους καταλῦσαι τὴν ὀλιγαρχίαν αὐτῶν καὶ τὸν δῆμον ἐλευθερῶσαι.

2. Voir Diodore, XVI, 45.

3. Démosthène, *Liberté des Rhodiens*, § 12.

4. Démosthène, *ib.*, 15 et 27.

5. Voir Aristote, *Politique*, V, 5. — A. Schæfer, *Demosthenes und seine Zeit*, I, p. 427.

6. Démosthène, *l. c.*, 14.

Les hommes qui dirigeaient alors la politique d'Athènes[1] étaient contraires à cette demande. Intervenir dans les affaires de Rhodes, c'était, disaient-ils, violer le traité qui avait mis fin à la guerre Sociale et dans lequel Athènes avait reconnu l'indépendance de ses anciens alliés. Les Athéniens n'avaient pas le droit d'intervenir, et, s'ils l'essayaient, ils pourraient s'en repentir. Il était dangereux d'irriter un souverain aussi puissant que le roi de Perse; il ne fallait pas non plus se brouiller avec Artémise, princesse qui gouvernait Halicarnasse et la Carie depuis la mort de son époux Mausole. Enfin les Rhodiens méritaient bien leur sort; ils subissaient le juste châtiment de leur défection.

Ce dernier argument semble avoir eu le plus de prise sur l'esprit des Athéniens. Les souvenirs de la guerre Sociale étaient encore récents : le peuple n'entendait pas soutenir les ennemis de la veille, s'imposer des sacrifices pour des hommes qui lui avaient fait tant de mal. Démosthène, qui appuie la demande des Rhodiens, doit combattre un ressentiment en apparence si légitime, et c'est là le plus difficile de sa tâche. Aussi y met-il des précautions infinies. Dès le début de son discours, il y touche avec une grande habileté: il faut, dit-il, remercier les dieux que d'anciens ennemis soient obligés d'implorer la générosité d'Athènes. Il y revient plus loin, mais en se gardant soigneusement de paraître le patron des Rhodiens. Il feint, au contraire, de partager à leur égard toutes les rancunes et toutes les préventions de son public. Il demande cependant que les Athéniens oublient d'anciennes injures, non pas dans l'intérêt des Rhodiens, mais dans leur propre intérêt. Les principaux arguments qu'il fait valoir sont tirés des traditions de la République. Défendre contre les empiétements des Barbares la liberté des cités helléniques; protéger partout le parti populaire contre les entreprises des oligarques : telle a été toujours la politique d'Athènes, tel est son rôle naturel et le fondement de sa grandeur. L'orateur va jusqu'à soutenir[2] qu'il aimerait mieux voir tous les Grecs jouir de la démocratie et faire la guerre à Athènes, que de les voir gouvernés oligarchiquement et en paix avec Athènes.

Voici la disposition de la harangue. Exorde : Démosthène demande qu'on le laisse parler librement; il compte sur l'intelligence du peuple (§ 1). Une faveur particulière des dieux a humilié d'anciens ennemis, et a fourni aux Athéniens l'occasion de gagner l'amitié de tous les peuples (§ 2-4). — Il ne faut pas soutenir les Égyptiens contre le roi de Perse; mais il faut empêcher ce dernier d'asservir les Rhodiens, qui sont Hellènes. En recommandant cette politique, Démosthène est d'accord avec lui-même et avec les conseils qu'il a donnés dans le discours qui précède (§ 5-8). L'histoire prouve qu'en agissant ainsi les Athéniens ne provoqueront probablement pas de guerre avec la Perse (§ 9-10).

1. Démosthène, *ib.*, § 33 : Οὓς ἴστε σαφῶς τοὺς τῆς πόλεως ἐχθροὺς ἠρημένους, τούτους πιστοτάτους ἡγεῖσθε.

2. Démosthène, *ib.*, § 18.

Dans les circonstances actuelles, il n'est pas de l'intérêt d'Artémise de faire des efforts sérieux pour retenir Rhodes sous la domination des Perses (§ 11-13). — Entre le parti aujourd'hui maître de Rhodes et les Rhodiens exilés, le choix d'Athènes ne saurait être douteux. Dans l'intérêt de la République, ces derniers doivent être secourus, tout indignes qu'ils en sont (§ 14-16). Entre oligarchies et démocraties, il n'y a pas d'amitié possible : les guerres sont des guerres à outrance, la paix n'est jamais sûre (§ 17-18). L'établissement d'un grand nombre d'oligarchies est un danger pour la démocratie d'Athènes (§ 19-21). — Jadis Argos protégea contre Sparte, alors toute-puissante, les démocrates exilés d'Athènes. Athènes ne doit pas être moins généreuse envers les exilés rhodiens : elle ne doit pas craindre de mécontenter le roi de Perse, dont l'hostilité, à en juger par le passé, ne serait pas trop redoutable (§ 22-24). — Il ne faut pas invoquer contre Athènes les traités, que tout le monde viole ; on serait mal venu à le faire quand même Athènes n'aurait pas le droit, qu'elle a, de rétablir la démocratie dans Rhodes (§ 25-29). — Sortie contre les traîtres, les orateurs antidémocratiques, qui ont l'oreille du peuple (§ 30-33). — Péroraison. Honorez vos aïeux, non en les louant, mais en faisant comme eux (§ 34-35).

On ignore quel fut l'effet de cette harangue. Il est douteux que le peuple ait adopté les conclusions de Démosthène ; il est plus douteux encore qu'il ait rien fait pour secourir efficacement les démocrates de Rhodes. Nous savons par Démosthène lui-même[1] que cinq ans plus tard cette île, ainsi que Cos et Chios, se trouvaient au pouvoir du prince de Carie, Idriée, le successeur d'Artémise.

1. Démosthène, *Sur la paix*, § 25.

δ' οὐδεπώποθ' ἡγησάμην χαλεπὸν τὸ διδάξαι τὰ βέλτισθ' ὑμᾶς
191 (ὡς γὰρ εἰπεῖν ἁπλῶς, ἅπαντες ὑπάρχειν ἐγνωκότες μοι δοκεῖτε), ἀλλὰ τὸ πεῖσαι πράττειν ταῦτα· ἐπειδὰν γάρ τι δόξῃ καὶ ψηφισθῇ, τοσοῦτον τοῦ πραχθῆναι ἀπέχει ὅσονπερ πρὶν δόξαι.

[2] Ἔστι μὲν οὖν ἓν ὧν ἐγὼ νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς ὀφείλειν, τὸ τοὺς διὰ τὴν αὑτῶν ὕβριν ὑμῖν πολεμήσαντας οὐ πάλαι, νῦν ἐν ὑμῖν μόνοις τῆς αὑτῶν σωτηρίας ἔχειν τὰς ἐλπίδας. Ἄξιον δ' ἡσθῆναι τῷ παρόντι καιρῷ· συμβήσεται γὰρ ὑμῖν, ἐὰν ἃ χρὴ βουλεύσησθ' ὑπὲρ αὐτοῦ, τὰς παρὰ τῶν διαβαλλόντων τὴν πόλιν ἡμῶν βλασφημίας ἔργῳ μετὰ δόξης καλῆς ἀπολύσασθαι. [3] Ἠτιάσαντο μὲν γὰρ ἡμᾶς ἐπιβουλεύειν αὐτοῖς Χῖοι καὶ Βυζάντιοι καὶ Ῥόδιοι, καὶ διὰ ταῦτα συνέστησαν ἐφ' ἡμᾶς τὸν τελευταῖον τουτονὶ πόλεμον· φανήσεται δ' ὁ μὲν πρυτανεύσας ταῦτα καὶ πείσας Μαύσωλος, φίλος εἶναι φάσκων Ῥοδίων, τὴν ἐλευθερίαν αὐτῶν ἀφῃρημένος, οἱ δ' ἀποδείξαντες ἑαυτοὺς συμμάχους Χῖοι καὶ Βυζάντιοι τοῖς ἀτυχήμασιν αὐτῶν οὐ βεβοηθηκότες, [4] ὑμεῖς δ' οὓς ἐφοβοῦντο, μόνοι τῶν πάντων τῆς σωτηρίας αὐτοῖς αἴτιοι. Ἐκ δὲ τοῦ ταῦθ' ὑφ' ἁπάντων ὀφθῆναι ποιήσετε τοὺς πολλοὺς ἐν ἁπάσαις ταῖς πόλεσι τοῦτο ποιεῖσθαι σύμβολον τῆς αὑτῶν σωτηρίας, ἐὰν ὑμῖν ὦσι

NC. 1. τὸ διδάξαι S. διδάξαι vulg. — 2. ὑπάρχειν ἐγνωκότες S. ἐγνωκότες ὑπάρχειν vulg. — 3. πεῖσαι πράττειν S. πράττειν πεῖσαι vulg. — 4. τότε ἴσον S, avec l'indication de la variante τοσοῦτον, laquelle est la vulgate. — Pour τοῦ πραχθῆναι ἀπέχει Benseler propose ἀπέχει τοῦ πραχθῆναι, afin d'éviter l'hiatus. — ὅσονπερ S. ὅσον vulg. — 7. τὸ avant τοὺς est inséré dans S par une main ancienne. — 8. ἐν ὑμῖν vulg. ἐν ἡμῖν S. — 10. ὑμῖν est omis dans S. — περὶ αὐτοῦ S, A. Cf. p. 57, l. 8. — 15. [καὶ πείσας] Cobet. — 19. ὑφ' ἁπάντων S seul. ὑπὸ πάντων vulg.

2. Ὡς γὰρ εἰπεῖν ἁπλῶς, ἅπαντες, pour ainsi dire tous. Littéralement : « pour le dire d'une manière générale, sans regarder aux exceptions. » Dans cette locution, ἁπλῶς ne veut pas dire « sincèrement ». Cf. *Ambassade*, § 7 : Ὁ μέντοι τὸν νόμον τιθεὶς οὐ διώρισε τοῦτο, ἀλλ' ἁπλῶς εἶπε μηδαμῶς δῶρα λαμβάνειν. — Ὑπάρχειν ἐγνωκότες dit plus que ἐγνωκέναι, de même que *cognitum habere* dit plus que *cognovisse*.

6-7. Ἓν ὧν, une des choses dont. — Διὰ τὴν αὑτῶν ὕβριν. Non pas, comme ils le prétendaient, à cause de l'injustice d'Athènes.

15. Ὁ μὲν πρυτανεύσας ταῦτα, celui qui y présidait, l'instigateur de la guerre. Cf. *De la paix*, 6 : Τὰ παρ' ὑμῶν διοικοῦντα Φιλίππῳ καὶ πρυτανεύοντα.

20. Τοὺς πολλούς, le peuple, la démocratie.

21. Σύμβολον, la marque, l'indice, le gage.

φίλοι· οὗ μεῖζον οὐδὲν ἂν ὑμῖν γένοιτ' ἀγαθὸν ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτου τυχεῖν εὐνοίας.

[5] Θαυμάζω δ' ὅτι τοὺς αὐτοὺς ὁρῶ ὑπὲρ μὲν Αἰγυπτίων τἀναντία πράττειν βασιλεῖ τὴν πόλιν πείθοντας, ὑπὲρ δὲ τοῦ Ῥοδίων δήμου φοβουμένους τὸν ἄνδρα τοῦτον. Καίτοι τοὺς μὲν Ἕλληνας ὄντας ἅπαντες ἴσασι, τοὺς δ' ἐν τῇ ἀρχῇ τῇ 'κείνου 192 μεμερισμένους. [6] Οἶμαι δ' ὑμῶν μνημονεύειν ἐνίους ὅτι, ἡνίκ' ἐβουλεύεσθ' ὑπὲρ τῶν βασιλικῶν, παρελθὼν ἐγὼ πρῶτος παρῄνεσα, οἶμαι δὲ μόνος ἢ δεύτερος εἰπεῖν, ὅτι μοι σωφρονεῖν ἂν δοκεῖτε, εἰ τὴν πρόφασιν τῆς παρασκευῆς μὴ τὴν πρὸς ἐκεῖνον ἔχθραν ποιοῖσθε, ἀλλὰ παρασκευάζοισθε μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθρούς, ἀμύνοισθε δὲ κἀκεῖνον, ἐὰν ὑμᾶς ἀδικεῖν ἐπιχειρῇ. Καὶ οὐκ ἐγὼ μὲν εἶπον ταῦθ', ὑμῖν δ' οὐκ ἐδόκουν ὀρθῶς λέγειν, ἀλλὰ καὶ ὑμῖν ἤρεσκε ταῦτα. [7] Ἀκόλουθος τοίνυν ὁ νῦν λόγος ἐστί μοι τῷ τότε ῥηθέντι. Ἐγὼ γάρ, εἰ βα-

NC. 6. τὸν ἄνδρα S seul. τὸν αὐτὸν ἄνδρα vulg. — 8. ὑπὲρ τῶν S. περὶ τῶν vulg. — ἐγὼ πρῶτος vulg. πρῶτος ἐγὼ S et les derniers éditeurs. Voir la note explicative. — 9. δὲ S. δὲ καὶ vulg. — 10-12. δοκοῖτε.... ποιοῖσθε.... ἀμύνοισθε vulg. δοκεῖτε.... ποιεῖσθε.... ἀμύνεσθε S. — 13. εἶπον ταῦτα S. ταῦτα εἶπον vulg. — 15. ὁ νῦν S. Ces mots manquent dans la plupart des manuscrits.

1-2. Ἢ παρὰ πάντων.... εὐνοίας. Cette phrase reprend et développe l'idée déjà exprimée par οὗ. G. H. Schæfer cite Platon, *Lois*, V, p. 738 D : Οὗ μεῖζον οὐδὲν πόλει ἀγαθὸν ἢ γνωρίμους αὐτοὺς αὐτοῖς εἶναι.. — Ἀνυπόπτου, exempte de défiance. L'adverbe ἀνυπόπτως a de même le sens actif chez Thucydide, I, 146 : Ἐπεμίγνυντο.... ἀκηρύκτως μέν, ἀνυπόπτως δ' οὔ.

4. Πείθοντας, cherchant à persuader. Cf. *Symmories*, 41, et *passim*.

7. Μεμερισμένους, attribués par une espèce de partage. Cf. Hérodote, I, IV, 5 : Τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα βάρβαρα οἰκειεῦνται οἱ Πέρσαι τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικὸν ἥγηνται κεχωρίσθαι.

8. Παρελθὼν ἐγὼ πρῶτος παρῄνεσα. L'orateur fait allusion au discours *sur les Symmories*, §§ 11 et 41. Alors il ne parla pas le premier, mais il ouvrit le premier l'avis qui prévalut. Le mot πρῶτος porte donc sur παρῄνεσα, et non sur παρελθών. Voilà pourquoi nous n'avons pas cru devoir adopter la leçon offerte par le meilleur manuscrit. Cf. *NC*.

9. Μόνος ἢ δεύτερος, « solum, aut « summum *unius de ceteris oratoribus as-* « *sensum nactum*. Anecd. Bekk, p. 89, 14 : « Δεύτερον· ἀντὶ τοῦ μεθ' ἑτέρου. » [G. H. Schæfer.] — Εἰπεῖν, ὅτι, avoir dit, que. En donnant à εἰπεῖν le sens de « parler », et en considérant la phrase οἶμαι δὲ.... εἰπεῖν comme une parenthèse, on prêterait à Démosthène une assertion contraire aux faits.

10. Ὅτι μοι σωφρονεῖν ἂν δοκεῖτ· équivaut à ὅτι σωφρονοῖτ' ἄν, ὥς μοι δοκεῖ, et est régulièrement suivi de εἰ... ποιοῖσθε.

13. Καὶ οὐκ. La négation porte à la fois sur les deux phrases ἐγὼ μὲν.... et ὑμῖν δὲ.... Cf. *Couronne*, § 179 : Οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ κτλ.

σιλεὺς παρ' αὐτὸν ὄντα με σύμβουλον ποιοῖτο, ταὔτ' ἂν αὐτῷ παραινέσαιμ' ἅπερ ὑμῖν, ὑπὲρ μὲν τῶν αὑτοῦ πολεμεῖν, ἐάν τις ἐναντιῶται τῶν Ἑλλήνων, ὧν δὲ μηδὲν αὐτῷ προσήκει, τούτων μηδ' ἀντιποιεῖσθαι τὴν ἀρχήν. [8] Εἰ μὲν οὖν ὅλως ἐγνώκατ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅσων ἂν βασιλεὺς ἐγκρατὴς γένηται φθάσας ἢ παρακρουσάμενός τινας τῶν ἐν ταῖς πόλεσι, παραχωρεῖν, οὐ καλῶς ἐγνώκατε, ὡς ἐγὼ κρίνω· εἰ δ' ὑπὲρ τῶν δικαίων καὶ πολεμεῖν, ἂν τούτου δέῃ, καὶ πάσχειν ὁτιοῦν οἴεσθε χρῆναι, πρῶτον μὲν ὑμῖν ἧττον δεήσει τούτων, ὅσῳ ἂν μᾶλλον ἐγνωκότες ἦτε ταῦτα, ἔπειθ' ἃ προσήκει φρονεῖν δόξετε.

[9] Ὅτι δ' οὐδὲν καινὸν οὔτ' ἐγὼ λέγω νῦν κελεύων Ῥοδίους ἐλευθεροῦν, οὔθ' ὑμεῖς, ἂν πεισθῆτέ μοι, ποιήσετε, τῶν γεγενημένων ὑμᾶς τι καὶ συνενηνοχότων ὑπομνήσω. Ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτ', ὦ ἄνδρες Ἀθηναῖοι, βοηθήσοντ'
193 Ἀριοβαρζάνῃ, προσγράψαντες τῷ ψηφίσματι « μὴ λύοντα τὰς « σπονδὰς τὰς πρὸς τὸν βασιλέα. » Ἰδὼν δ' ἐκεῖνος τὸν μὲν Ἀριοβαρζάνην φανερῶς ἀφεστῶτα βασιλέως, Σάμον δὲ φρουρου-

NC. 1. ταὔτ' Baiter et Vœmel. Les manuscrits portent ταῦτ'. — 6. ἢ S. καὶ vulg. — 7. ὑπὲρ S seul. ὑπέρ γε vulg. — 8. ὁτιοῦν S. ὁτιοῦν ἂν vulg. — 9. Pour οἴεσθε S porte οἴεσθαι. — τούτων S. τούτου vulg. — 9-10. ἂν μᾶλλον S. μᾶλλον ἂν vulg. — 12. μοι est ajouté dans S par une main ancienne. — 13. Après καὶ la vulgate répète τῶν. — 16. La vulgate omet τὸν avant βασιλέα. — 17. S porte ici αριοβαρζάνῃ, ailleurs ἀριοβαρζάνην.

de ce roi dans la guerre, le rend suspect à toutes les républiques. Les Olynthiens savent qu'ils luttent pour préserver leur cité de la destruction et les citoyens de l'esclavage (§ 4-5). Voici le moment de pousser vivement la guerre, d'y concourir de vos biens et de vos personnes. Vous cherchiez le moyen de mettre Olynthe aux prises avec Philippe : la chose est arrivée sans votre intervention et de la manière la plus heureuse pour vous. Saisissez l'occasion, agissez avec plus de vigueur que vous n'avez fait lorsque Amphipolis, Pydna, Potidée, Méthone, Pagases attendaient vos secours. Par un bienfait des dieux, nous pouvons aujourd'hui, si nous le voulons, réparer les effets de notre insouciance et nous relever aux yeux du monde (§ 6-11). Si nous abandonnons Olynthe, nous ouvrons à Philippe le chemin de l'Attique. Rappelez-vous ses progrès incessants : par ce qu'il a fait, jugez de ce qu'il fera. Si à son activité prodigieuse nous continuons d'opposer une incurable indolence, il est à craindre que nous ne payions cher des douceurs qui ne sauraient durer (§ 12-15).

Deuxième partie. Que faut-il faire ? Démosthène parlera avec franchise, sans se préoccuper de sa sécurité personnelle. Il faut préparer ne double expédition : l'une empêchera la prise par Philippe des villes de la Chalcidique, l'autre ravagera la Macédoine. L'argent nécessaire, on pourrait, si on voulait, le tirer de la caisse des spectacles; sinon, force est de recourir à l'impôt sur la fortune. Mais il faut de l'argent, si l'on veut des résultats (§ 16-20).

Troisième partie. La situation de Philippe n'est pas aussi belle qu'elle peut paraître à première vue. Il s'attendait à ne rencontrer aucune résistance, et il est obligé de faire la guerre (§ 21). Les Thessaliens, ses alliés, redemandent Pagases, l'empêchent de fortifier Magnésie, et ne veulent plus, dit-on, le laisser percevoir les droits de leurs ports et de leurs marchés. Les princes péoniens, illyriens, tous enfin, voudraient secouer le joug. Ses embarras sont vos facilités : profitez-en, agissez, faites ce qu'il ne manquerait pas de faire si vous vous trouviez dans une situation pareille (§ 22-24). Reprenant une considération déjà indiquée au § 15, l'orateur montre ensuite aux Athéniens qu'ils ont à opter entre la guerre au dehors et la guerre chez eux. Olynthe tombée, rien n'empêchera Philippe d'envahir l'Attique. Or une telle invasion serait la ruine du pays (§ 25-27).

Péroraison. Apostrophe aux riches, aux jeunes hommes, aux orateurs. Tous doivent concourir de toutes leurs forces au salut de l'État : tous y sont intéressés (§ 28).

Les conseils de Démosthène ne furent pas écoutés. Les Athéniens se contentèrent d'envoyer à Olynthe des étrangers mercenaires : ils y expédièrent deux mille peltastes, trente galères, qui tenaient déjà la mer sous le commandement de Charès, et huit autres, qui furent armées

à cette occasion[1]. Ce secours, et la conclusion du traité d'alliance qui le précéda, étaient les premiers faits consignés dans les *Annales attiques* de Philochoros sous l'archontat de Callimaque. Il en résulte que la première Olynthienne fut prononcée tout au commencement de la 4[e] année de l'Olympiade CVII. L'invasion de la Chalcidique par les Macédoniens eut probablement lieu à la fin de l'année (attique) précédente[2].

Cette harangue est-elle vraiment la première Olynthienne? ne faudrait-il pas la placer après la suivante, ou après les deux suivantes? Nous examinerons plus loin ces questions controversées.

1. Philochoros, dans le sixième livre de son *Atthide*, cité par Denys d'Halicarnasse, *Épître à Ammée*, I, 9 : Καλλίμαχος Περγασῆθεν. Ἐπὶ τούτου Ὀλυνθίοις, πολεμουμένοις ὑπὸ Φιλίππου καὶ πρέσβεις Ἀθήναζε πέμψασιν, Ἀθηναῖοι συμμαχίαν ἐποιήσαντο [lacune d'environ dix-huit lettres] καὶ βοήθειαν ἔπεμψαν πελταστὰς μὲν δισχιλίους, τριήρεις δὲ τριάκοντα τὰς μετὰ Χάρητος, καὶ ἃς συνεπλήρωσαν ὀκτώ. Au lieu de ces derniers mots on lisait ἃς καὶ συνεπλήρωσαν. Le vrai texte a été rétabli par H. van Herwerden (*Dionysii Halicarnassensis epistolæ tres*, Groningue, 1861, p. 10), d'après un manuscrit de la Bibliothèque Ambrosienne de Milan. La leçon de ce manuscrit est, ce nous semble, confirmée par Suidas. A l'article Κάρανος, ce biographe, après avoir rappelé qu'Olynthe s'était agrandie aux dépens d'Athènes, continue ainsi : Ὅμως δὲ βοηθοὺς ἔπεμψαν Ἀθηναῖοι ναῦς μʹ καὶ Χάρητα στρατηγόν· οὗ χειμῶνι ἀποληφθέντος, προδόντων δὲ τὴν Ὄλυνθον Εὐθυκράτους καὶ Λασθένους κτλ. Suidas confond le premier secours avec le troisième, lequel était également commandé par Charès; mais ses quarante trirèmes sont, en nombre rond, les mêmes que les trente-huit de Philochoros.

2. E. A. Richter (*Beitraege zur Kritik u. Erkl. des Dem.* Altenburg, 1877) pense que la première Olynthienne fut prononcée à la première nouvelle de l'invasion de la Chalcidique par Philippe, avant qu'Olynthe eût demandé l'alliance d'Athènes.

ΟΛΥΝΘΙΑΚΟΣ

Α

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Ὄλυνθος ἦν πόλις ἐπὶ Θρᾴκης, Ἑλληνικὸν δὲ ταύτῃ τῶν ἐνοικούντων τὸ γένος, ἀπὸ Χαλκίδος τῆς ἐν Εὐβοίᾳ· ἡ δὲ Χαλκὶς Ἀθηναίων ἄποικος. Πολλοὶ δὲ πόλεμοι καὶ ἔνδοξοι τῆς Ὀλύνθου· Ἀθηναίοις τε 7
γὰρ ἐπολέμησεν ἄρχουσι τῶν Ἑλλήνων τὸ παλαιὸν καὶ αὖθις Λακεδαιμονίοις· χρόνῳ τε εἰς δύναμιν προῆλθε μεγάλην καὶ τῶν συγγενῶν πόλεων ἐπῆρχεν· ἦν γὰρ ἐπὶ Θρᾴκης πολύ τι γένος Χαλκιδικόν. Φιλίππῳ δὲ τῷ Μακεδόνων βασιλεῖ συμμαχίαν οἱ Ὀλύνθιοι ποιησάμενοι, καὶ πολεμοῦντες μετ' αὐτοῦ πρὸς Ἀθηναίους τὸ κατ' ἀρχάς, καὶ τοῦτο μὲν Ἀνθεμοῦντα παρὰ τοῦ Μακεδόνος εἰληφότες, πόλιν ἀμφισβητήσιμον Μακεδόσι καὶ Ὀλυνθίοις, τοῦτο δὲ Ποτίδαιαν, ἣν Ἀθηναίων ἐχόντων ἐκπολιορκήσας ὁ Φίλιππος Ὀλυνθίοις παρέδωκεν, ὕστερον ὑποπτεύειν ἤρξαντο τὸν βασιλέα, ὁρῶντες αὐτοῦ ταχεῖαν καὶ πολλὴν τὴν αὔξησιν, οὐ πιστὴν δὲ τὴν γνώμην. Ἀποδημοῦντα δὲ τηρήσαντες αὐτὸν, πέμψαντες πρέσβεις πρὸς Ἀθηναίους κατελύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον, ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας τὰς πρὸς Φίλιππον· συνετέθειντο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς Ἀθηναίους, κἂν ἄλλο τι δόξῃ, κοινῇ σπείσασθαι. Ὁ δὲ Φίλιππος πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς δεόμενος, τότε δὲ ταύτην λαβὼν, ὡς τὰς συνθήκας παραβεβηκόσι καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις πόλεμον ἐπήνεγκεν. Οἱ δὲ πεπόμφασι πρέσβεις εἰς Ἀθήνας περὶ βοηθείας, οἷς ὁ Δημοσθένης συναγορεύει, βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις. Καί φησι τὴν Ὀλυνθίων σωτηρίαν ἀσφάλειαν εἶναι τῶν

8

Ἀθηναίων· σωζομένων γὰρ τῶν Ὀλυνθίων οὐδέποτε ἥξειν εἰς τὴν
Ἀττικὴν Φίλιππον, ἀλλὰ τοῖς Ἀθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ
8 τὴν Μακεδονίαν κἀκεῖ ποιεῖσθαι τὸν πόλεμον· εἰ δὲ ὑπὸ Φιλίππῳ
γένοιτο ἡ πόλις αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ τὰς Ἀθήνας ὁδὸν τῷ βασιλεῖ.
Φησὶ δὲ δύσμαχον εἶναι τὸν Φίλιππον οὐχ ὡς ὑπείληπται, θαρσύνων
ἐπ' αὐτὸν τοὺς Ἀθηναίους.

Διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων, συμβουλεύων
ποιῆσαι αὐτὰ στρατιωτικὰ ἀντὶ θεωρικῶν. Καὶ τὸ ἔθος οὐ πρόδηλον
ὄν, ᾧ ἐχρῶντο οἱ Ἀθηναῖοι, ἀνάγκη σαφηνίσαι. Οὐκ ὄντος τὸ πα
λαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπηγνυμένων
ἰκρίων, καὶ πάντων καταλαμβάνειν τόπον σπευδόντων, πληγαί τε
ἐγίνοντο καί που καὶ τραύματα. Τοῦτο κωλῦσαι βουληθέντες οἱ προε-
στῶτες τῶν Ἀθηναίων ὠνητοὺς ἐποιήσαντο τοὺς τόπους, καὶ ἕκαστον
ἔδει διδόναι δύο ὀβολοὺς καὶ καταβαλόντα θέαν ἔχειν. Ἵνα δὲ μὴ
δοκῶσιν οἱ πένητες λυπεῖσθαι τῷ ἀναλώματι, ἐκ τοῦ δημοσίου λαμ-
βάνειν ἕκαστον ἐτάχθη τοὺς δύο ὀβολούς. Ἐντεῦθεν μὲν οὖν τὸ ἔθος
ἤρξατο, προῆλθε δὲ εἰς τοῦτο ὥστε οὐκ εἰς τοὺς τόπους μόνον ἐλάμ-
βανον, ἀλλ' ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο. Ὅθεν
καὶ περὶ τὰς στρατείας ὀκνηροὶ κατέστησαν. Πάλαι μὲν γὰρ στρα-
τευόμενοι μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον, τότε δὲ ἐν ταῖς θεω-
ρίαις καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες διενέμοντο τὰ χρήματα· οὐκέτι
οὖν ἤθελον ἐξιέναι καὶ κινδυνεύειν, ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν
θεωρικῶν τούτων χρημάτων, θάνατον ἀπειλοῦντα τῷ γράψαντι μετα-
τεθῆναι ταῦτα εἰς τὴν ἀρχαίαν τάξιν καὶ γενέσθαι στρατιωτικά. Διὸ
ὁ Δημοσθένης εὐλαβῶς ἅπτεται τῆς περὶ τούτου συμβουλῆς, καὶ ὑπε-
9 ρωτήσας ἑαυτὸν ὅτι « σὺ γράφεις ταῦτα εἶναι στρατιωτικά; » ἐπιφέ-
ρει « μὰ Δί' οὐκ ἔγωγε. » Τοσαῦτα μὲν περὶ τῶν θεωρικῶν.

Διείλεκται δὲ ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν αὐτοὺς στρατεύεσθαι καὶ μὴ διὰ ξένων, ὥσπερ εἰώθεσαν, ποιεῖσθαι τὴν βοήθειαν· τοῦτο γὰρ αἴτιον εἶναί φησι τοῦ τὰ πράγματα ἀπόλλυσθαι.

Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει περὶ ὧν νυνὶ σκοπεῖτε. Ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν. Οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ' ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω πολλὰ τῶν δεόντων ἐκ τοῦ παραχρῆμ' ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν· ὥστ' ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι.

[2] Ὁ μὲν οὖν παρὼν καιρός, ὦ ἄνδρες Ἀθηναῖοι,

NC. 1. ἂν est omis dans S.

1. Ἀντὶ πολλῶν.... χρημάτων. Les interprètes grecs ont cherché trop de finesse dans ces mots. Hermogène (t. III, p. 435, Walz) prétend que Démosthène prépare, au moyen de cet exorde, sa proposition sur les fonds des spectacles ; quelques scholiastes lui prêtent des intentions encore plus extraordinaires. Mais la locution employée par l'orateur est tout a fait usuelle : c'est comme si nous disions : « Que ne donneriez-vous pour voir clairement !... » Dobree et Sauppe l'ont prouvé par le rapprochement de beaucoup de passages analogues. Citons Hérodote, I, 86 : Τὸν ἂν ἐγὼ πᾶσι τυράννοισι προετίμησα μεγάλων χρημάτων ἐς λόγους ἐλθεῖν. Thucydide, I, 33 : Ἣν ὑμεῖς ἂν πρὸ πολλῶν χρημάτων καὶ χάριτος ἐτιμήσασθε δύναμιν ὑμῖν προσγενέσθαι. — Comme le verbe αἱρεῖσθαι contient l'idée de préférence, on dit indifféremment αἱροῦμαι ἀντί τινος (je choisis à la place d'une chose) ou αἱροῦμαι πρό τινος (je choisis plutôt qu'une chose).

2. Εἰ φανερὸν.... συνοίσειν. Cette phrase subordonnée tient lieu de régime à la phrase principale, et elle équivaut à τὴν φανέρωσιν τοῦ μέλλοντος συνοίσειν. C'est à tort que Dupin (*Examen de l'éloquence de Démosthène*, p. 94) voulait mettre une virgule après γένοιτο. On a déjà réfuté cette ponctuation, qui altère le sens, et qui ne saurait s'appliquer à l'imitation de Lucien, *Jup., trag.* 15 : Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες θεοί, χρημάτων ὑμᾶς ἂν ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιθ' ὑμῖν ὅ τι δήποτ' ἄρα τοῦτ' ἐστὶν ἐφ' ὅτῳ νῦν ξυνελέγητε.

3. Περὶ ὧν νυνὶ σκοπεῖτε équivaut à περὶ τούτων περὶ ὧν νυνὶ σκοπεῖτε, et se rattache à εἰ φανερὸν γένοιτο.

4-7. Οὐ γὰρ μόνον.... ἐπελθεῖν εἰπεῖν. En opposant aux propositions longuement méditées les idées subites, inspirées par le moment, l'orateur insiste sur ce que ces dernières peuvent avoir d'utile. La forme de la période ne permet pas, ce me semble, quoi qu'en disent les commentateurs tant anciens que modernes, d'entendre ce passage autrement. Tout lecteur non prévenu croira qu'un orateur qui s'exprime ainsi dans son exorde, s'il n'annonce pas tout un discours improvisé, pretend du moins que la fortune d'Athènes pourra lui faire trouver sur-le-champ quelque conseil salutaire. Il est vrai que Démosthène n'aimait pas à improviser, nous le savons par Plutarque (*Dém.*, ch. 8) ; mais les commentateurs s'en préoccupent trop, et ce n'est pas une raison pour lui faire dire ici : « Athéniens, n'écoutez pas seulement ceux qui, comme moi, vous apportent le fruit de leurs méditations, mais aussi ceux qui parlent d'abondance. » Voilà qui serait une singulière façon d'entrer en matière : car on ne saurait découvrir dans la seconde partie de la période aucune intention de dénigrement ou d'ironie. Du reste cet exorde serait peut-être plus clair pour nous, si nous avions les discours auxquels Démosthène repond. Supposons qu'un autre orateur, par exemple Phocion, avait parlé, dans un sens différent en assurant avoir longuement pesé la question. L'ensemble de l'exorde indique, suivant nous, que Démosthène succédait à la tribune à

μόνον οὐχὶ λέγει φωνὴν ἀφιεὶς ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστὶν, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε· ἡμεῖς δ' οὐκ οἶδ' ὅντινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. Ἔστι δὴ τά γ' ἐμοὶ δοκοῦντα, ψηφίσασθαι μὲν ἤδη τὴν βοήθειαν, καὶ παρασκευάσασθαι τὴν ταχίστην ὅπως ἐνθένδε βοηθήσετε καὶ μὴ πάθητε ταὐτὸν ὅπερ καὶ πρότερον, πρεσβείαν δὲ πέμπειν,

NC. 2. αὐτῶν S, la plupart des manuscrits, le scholiaste et Hermogène, t. III, p. 410. Ce dernier donne la paraphrase : εἰ δὲ μὴ, ἀπολεῖται τὰ πράγματα. Variante αὑτῶν. — 5. ὅπως. Nous avons supprimé, avant ce mot, la virgule, que portent les autres éditions, sauf celle que Bekker a donnée en 1854. La virgule y est-elle omise à dessein ou par hasard ? Voir, du reste, la note explicative. — 5. βοηθήσετε, variante avec raison adoptée par Bekker. βοηθήσητε S et presque tous les manuscrits. Cette leçon doit sans doute son origine au voisinage de πάθητε. Cf. la note explicative.

un homme considérable dont il ne partageait pas l'avis. — Τῆς ὑμετέρας τύχης ὑπολαμβάνω. L'infinitif εἶναι est sous-entendu. Cf. *Symmories*, § 24 ; *Phil.*, I, 18.

1. Μόνον οὐχί, *tantum non*, presque, pour ainsi dire. Ces mots tempèrent la hardiesse de la prosopopée qui prête une voix aux circonstances. — Τῶν πραγμάτων.... ἐκείνων. Le démonstratif se rapporte aux mots περὶ ὧν νυνὶ σκοπεῖτε, § 1. Il s'agit des affaires d'Olynthe.

2. Αὐτοῖς, vous-mêmes en personne, les citoyens et non des étrangers mercenaires. — Ὑπὲρ σωτηρίας αὐτῶν, c'est-à-dire τῶν πραγμάτων. [Scholiaste.] Vœmel compare § 17 : Βοηθητέον τοῖς πράγμασιν, *Ol.*, III, § 21 : Τὴν τῶν πραγμάτων σωτηρίαν, *Pour Phormion*, § 30 : Σωτηρίαν τοῖς ἑαυτοῦ πράγμασιν. Cf. *ib.* § 49 : Τὸν σώσαντα.... τὰ πράγματα.

3. Ἡμεῖς δ' οὐκ οἶδ(α).... πρὸς αὐτά. Hermogène (III, p. 411 Walz) et le scholiaste de Démosthène font remarquer que l'orateur adoucit le reproche en se servant de la première personne (ἡμεῖς et non ὑμεῖς), et en enveloppant l'idée de ἀμελοῦμεν ou ῥᾳθυμοῦμεν dans une périphrase vague. Disons que cette périphrase indique à merveille que les Athéniens se conduisent d'une manière étrange, difficile à définir, en gens qui voudraient bien, mais qui ne veulent pas.

5. Παρασκευάσασθαι.... βοηθήσετε, de vous préparer au plus vite à venir au secours d'Olynthe avec des forces partant d'ici (et composées de citoyens). Ὅπως βοηθήσετε est le complément de παρασκευάσασθαι. Cf. Thucydide, II, 99 : Παρεσκευάζοντο ὅπως.... ἐσβαλοῦσιν. On croit généralement que παρασκευάσασθαι a pour régime τὴν βοήθειαν, et l'on explique ὅπως par « afin que ». C'est prêter à l'orateur un non-sens : la rapidité des préparatifs ne peut avoir pour effet que le secours soit composé d'Athéniens. — Quant à ἐνθένδε, le scholiaste le rend bien par πολιτικῇ δυνάμει καὶ μὴ ξένῃ. Voyez la note sur τριήρεις κενάς, *Phil.*, I, 43.

6. Μὴ πάθητε.... πρότερον. Démosthène fait allusion à des secours tardifs et peu efficaces. Mais il ne dit pas que ces secours aient été envoyés à Olynthe; il a en vue d'autres faits arrivés dans le cours de la guerre contre Philippe. L'orateur s'en explique lui-même aux § 8 et 9, où les mots οὐδὲ παθεῖν ταὐτὸ, ὅπερ ἤδη πολλάκις πρότερον πεπόνθατε se réfèrent à ceux qu'on lit ici. Ce passage ne peut donc servir d'argument à la thèse suivant laquelle cette harangue serait la dernière des *Olynthiennes*.—Πάθητε, subjonctif de l'aoriste second, alternant avec l'indicatif du futur βοηθήσετε. Cf. Aristophane, *Eccles.*, 495. Μὴ καί τις ἡμᾶς ὄψεται χἠμῶν ἴσως κατείπῃ. Platon, *Tim.*, p. 18, E : Μηχανᾶσθαι.... ὅπως.... ἑκάτεροι ξυλλήξονται, καὶ μή τις αὐτοῖς ἔχθρα.... γίγνηται.

ἥτις ταῦτ' ἐρεῖ καὶ παρέσται τοῖς πράγμασιν· [3] ὡς ἔστι μάλιστα τοῦτο δέος, μὴ πανοῦργος ὢν καὶ δεινὸς ἄνθρωπος πράγμασι χρῆσθαι, τὰ μὲν εἴκων, ἡνίκ' ἂν τύχῃ, τὰ δ' ἀπειλῶν (ἀξιόπιστος δ' ἂν εἰκότως φαίνοιτο), τὰ δ' ἡμᾶς διαβάλλων καὶ τὴν ἀπουσίαν τὴν ἡμετέραν, τρέψηται καὶ παρασπάσηταί τι τῶν ὅλων πραγμάτων. [4] Οὐ μὴν ἀλλ' ἐπιεικῶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ', ὃ δυσμαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων, καὶ βέλτιστον ὑμῖν· τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕν' ὄντα κύριον καὶ ῥητῶν καὶ ἀπορρήτων καὶ ἅμα στρατηγὸν καὶ δεσπότην καὶ ταμίαν, καὶ πανταχοῦ αὐτὸν παρεῖναι τῷ στρατεύματι, πρὸς μὲν τὸ τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι πολλῷ προύχει, πρὸς δὲ τὰς καταλλαγάς, ἃς ἂν ἐκεῖνος ποιήσαιτ' ἄσμενος πρὸς Ὀλυνθίους, ἐναντίως ἔχει. [5] Δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις ὅτι νῦν οὐ περὶ δόξης οὐδ'

NC. 2. ἄνθρωπος Bekker. ἄνθρωπος ou ἄνος manuscrits. — 5. Pour τρέψηται on a proposé τρέψῃ τε (H. Wolf), δρέψηται (Reiske), ἀνατρέψῃ τε (Dobree), κλέψῃ τε (Holzinger et Cobet). — 10. αὐτὸν πανταχοῦ παρεῖναι Benseler. — 11. τὸ avant τὰ τοῦ est omis dans S. — 13. ποιήσαιτο quelques manuscrits et Hermogène III, p. 285. — ποιήσηται S et vulg.

3. Τύχῃ, sous-entendu εἴκων. Cf. *Phil.*, I, 46 : Ὅταν.... ὅ τι ἂν τύχητε ψηφίζησθε.

4. Ἀξιόπιστος.... φαίνοιτο. S'il faut se défier des concessions de Philippe, ses menaces, au contraire, sont dignes de foi. Le sort de Potidée, de Méthone, d'autres villes, le prouve.

5-6. Τρέψηται.... πραγμάτων, il est à craindre que Philippe n'emporte par la ruse un point capital, un point qui décide de la guerre tout entière (en venant à bout de la résistance d'Olynthe). On explique τρέψηται *ne in suum commodum vertat*, sans pouvoir citer un exemple, où le moyen τρέπεσθαι ait ce sens. Voy. NC. Τὰ ὅλα πράγματα, *summa rerum*. Cf. *Couronne*, § 278 : Τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει.

6-8. Οὐ μὴν ἀλλ(ὰ).... βέλτιστον ὑμῖν. Scholiaste : Φοβήσας τοὺς Ἀθηναίους διὰ τῆς Φιλίππου πανουργίας καὶ δυσκαταγώνιστον αὐτὸν καταστήσας, παραμυθεῖ πάλιν αὐτοὺς δι' αὐτῶν ὧν ἐφόβησε. Quant à la tournure paradoxale et piquante de la pensée, voir *Symmories*, § 24, et *Phil.*, I, 2, avec les notes. — Ἐπιεικῶς, assez, à peu près. Cp., au sujet de cet atticisme, Platon, *Phédon*, p. 117 C : Τέως μὲν ἐπιεικῶς οἷοί τ' ἦσαν κατέχειν τὰ δάκρυα. *Protag.*, p. 349 D. : Τὰ μὲν τέτταρα αὐτῶν ἐπιεικῶς παραπλήσια ἀλλήλοις ἐστίν.

9. Καὶ ἀπορρήτων. Cf. *Couronne*, 235 : Ἔπραττεν ἃ δόξειεν αὐτῷ, οὐ προλέγων ἐν τοῖς ψηφίσμασιν, οὐδ' ἐν τῷ φανερῷ βουλευόμενος. Voyez tout ce passage où se trouvent développés les avantages que donnait à Philippe sa position de maître absolu de son pays.

12-13. Par καταλλαγάς, ἅς.... Ὀλυνθίους, il ne faut pas entendre ici un raccommodement. Le pacte que Philippe désire, est un pacte de soumission. La suite le montre. — Ἐναντίως ἔχει. La phrase opposée se terminait par πολλῷ προέχει. La répétition du même mot fait plus vivement ressortir l'antithèse. Hermogène (t. III, p. 285 Walz) cite ce passage parmi les exemples de la figure qu'il appelle ἀντιστροφή.

ὑπὲρ μέρους χώρας πολεμοῦσιν, ἀλλ' ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος, καὶ ἴσασιν ἅ τ' Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν καὶ Πυδναίων τοὺς ὑποδεξαμένους· καὶ ὅλως ἄπιστον, οἶμαι, ταῖς πολιτείαις ἡ τυραννίς, ἄλλως τε κἂν ὅμορον χώραν ἔχωσιν. [6] Ταῦτ' οὖν ἐγνωκότας ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τἆλλ' ἃ προσήκει πάντ' ἐνθυμουμένους φημὶ δεῖν ἐθελῆσαι καὶ παροξυνθῆναι καὶ τῷ πολέμῳ προσέχειν, εἴπερ ποτέ, καὶ νῦν, χρήματ' εἰσφέροντας προθύμως καὶ αὐτοὺς ἐξιόντας καὶ μηδὲν ἐλλείποντας. Οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις ἔθ' ὑμῖν τοῦ μὴ τὰ δέοντα ποιεῖν ἐθέλειν ὑπολείπεται. [7] Νυνὶ γάρ, ὃ πάντες ἐθρύλουν τέως, Ὀλυνθίους ἐκ-

NC. 1. Pour πολεμοῦσιν, Maximus Planudes (V, p. 471 Walz) cite κινδυνεύουσιν, Minucianus (IX, p. 602) ὁ κίνδυνός ἐστιν αὐτοῖς. Le scholiaste de Démosthène se sert aussi de κινδυνεύουσιν. Ce verbe, dont πολεμοῦσιν pourrait être une glose, nous semble mieux convenir à ce passage, puisque l'orateur raisonne dans l'hypothèse que Philippe voudrait traiter avec les Olynthiens. — 11. ἐθρύλουν τέως, variante approuvée par G. H. Schæfer, Bekker et d'autres. ἐθρυλεῖτε ὡς S. ἐθρυλλεῖτε ὡς vulg. Le scholiaste avait sous les yeux la troisième personne.

2. Ἀμφιπολιτῶν. Le fait rapporté ici par Démosthène est extrêmement douteux. Il est vrai que le scholiaste dit : Εἰσελθὼν γάρ, αὐτοὺς (*i. e.* τοὺς ἀνοίξαντας αὐτῷ τὰς πύλας) πρώτους ἐφόνευσε λέγων· « Εἰ τῶν ἰδίων πολιτῶν οὐκ ἐφείσασθε, πόσῳ γε πλέον οὐ μέλλετε περὶ ἐμὲ ὕστερον τοιοῦτοι γενήσεσθαι; » Mais cela n'est qu'un lieu commun appliqué à cette circonstance. Diodore (XVI, 8) rapporte que Philippe entra par une brèche dans Amphipolis, qu'il exila ses adversaires et qu'il traita les autres avec humanité (τοῖς δ' ἄλλοις φιλανθρώπως προσηνέχθη). Quant au bannissement des citoyens d'Amphipolis opposés à Philippe, on en voit un exemple dans le *Corpus inscriptionum* de Boeckh, II, p. 63.

3. Πυδναίων. Ici le scholiaste donne des détails précis et plus dignes de foi. Κἀκεῖ τινες προδεδώκασιν, εἶθ' ὕστερον γνόντες ὅτι οὐκ ἂν αὐτῶν φείσαιτο, ἔφυγον ἐπὶ τὸ Ἀμύντιον, ἱερὸν τοῦ πατρὸς αὐτοῦ· κολακεύοντες γὰρ αὐτοῦ τὸν πατέρα πρώην οἱ Πυδναῖοι ἱερὸν αὐτοῦ ἐποίησαν· ὅμως δ' οὐδ' ἐκεῖσε καταφυγόντων ἐφείσατο, ἀλλ' ἀναστήσας αὐτοὺς ὅρκοις ἐπὶ τῷ μηδὲν ποιῆσαι ἐξελθόντας ἀνεῖλεν. Aristide, Συμμαχικὸς α', p. 480 Jebb, p. 715 Dindorf, fait allusion aux mêmes faits.

4. Ταῖς πολιτείαις. Voir la note sur τοὺς τὰς πολιτείας καταλύοντας, *Rhod.*, § 20.

7. Ἐθελῆσαι, vouloir, faire un effort de volonté. Dobree cite Thucydide, V, 9 : Νομίσατε εἶναι τοῦ καλῶς πολεμεῖν τὸ ἐθέλειν καὶ τὸ αἰσχύνεσθαι καὶ τοῖς ἄρχουσι πείθεσθαι. Ceux qui font dépendre de ἐθελῆσαι les deux infinitifs suivants, affaiblissent l'énergie de l'expression, et prêtent à l'orateur une façon de parler étrange. Que veut dire en effet « *vouloir* exciter son propre courage »? Ils ne tiennent pas compte non plus de la symétrie entre les trois infinitifs ἐθελῆσαι, παροξυνθῆναι, προσέχειν et les trois participes εἰσφέροντας, ἐξιόντας, ἐλλείποντας.

9-10. Λόγος, « motif, » est opposé à σκῆψις, « prétexte. »

11-1. Ἐκπολεμῶσαι équivaut à εἰς πόλεμον καταστῆσαι. Il est difficile d'approuver la leçon ἐκπολεμῆσαι, qui est contraire à l'analogie. Cependant, on lit aussi dans Xénophon, *Hellen.* V, IV, 20 : Ἵν' ἐκπολεμήσειε τοὺς Ἀθηναίους πρὸς τοὺς

πολεμῶσαι δεῖν Φιλίππῳ, γέγονεν αὐτόματον, καὶ ταῦθ' ὡς ἂν 11 ὑμῖν μάλιστα συμφέροι. Εἰ μὲν γὰρ ὑφ' ὑμῶν πεισθέντες ἀνείλοντο τὸν πόλεμον, σφαλεροὶ σύμμαχοι καὶ μέχρι του ταῦτ' ἂν ἐγνωκότες ἦσαν ἴσως· ἐπειδὴ δ' ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων μισοῦσι, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτοὺς ὑπὲρ ὧν φοβοῦνται καὶ πεπόνθασιν ἔχειν. [8] Οὐ δεῖ δὴ τοιοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, παραπεπτωκότα καιρὸν ἀφεῖναι, οὐδὲ παθεῖν ταὐτὸν ὅπερ ἤδη πολλάκις πρότερον πεπόνθατε. Εἰ γάρ, ὅθ' ἥκομεν Εὐβοεῦσιν βεβοηθηκότες καὶ παρῆσαν Ἀμφιπολιτῶν Ἱέραξ καὶ Στρατοκλῆς ἐπὶ τουτὶ τὸ βῆμα, κελεύοντες ἡμᾶς πλεῖν καὶ παραλαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ' ἡμεῖς ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν ἥνπερ ὑπὲρ τῆς Εὐβοέων σωτηρίας, εἴχετ' ἂν Ἀμφίπολιν τότε καὶ πάντων τῶν μετὰ ταῦτ' ἂν ἦτ' ἀπηλλαγμένοι πραγμάτων. [9] Καὶ πάλιν ἡνίκα Πύδνα, Ποτείδαια, Μεθώνη, Παγασαί, τἄλλα, ἵνα μὴ καθ' ἕκαστα λέγων

NC. 1. ἐκπολεμῆσαι S de première main, Dindorf, Vœmel. Telle était, d'après Harpocration, la leçon des exemplaires appelés Ἀττικιανά. ἐκπολεμῶσαι vulg. Cf. *Olynth*. III, 7. — δεῖν S et vulg. Variante : δεῖ. — 2. ὑμῶν S. ἡμῶν vulg. — 3. ταῦτ' manuscrits. ταὔτ' Reiske. — 7. ταὐτὸν vulg. ταὐτὸ S et la plupart des manuscrits, ainsi que des derniers éditeurs. Mais ces mêmes manuscrits portent ταὐτὸν ὅπερ au § 2. — 9. παρῆσαν manuscrits. παρῇσαν Cobet.

Λακεδαιμονίους, et Harpocration atteste l'ancienneté de cette leçon pour l'historien, comme pour l'orateur.

1. Καὶ ταῦτ(α), *idque*, et cela, et encore. Cf. *Rhodiens*, § 23.

3. Μέχρι του, jusqu'à un certain point, non pas dans toutes les conjonctures et immuablement. Ceux qui expliquent « pour un temps », restreignent arbitrairement le sens de cette locution.—Ταῦτ(α), c.-à-d. πολεμεῖν. Voyez cependant *NC*.

4. Ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων, pour des griefs relatifs à eux-mêmes, pour des griefs qu'ils ont contre Philippe au sujet de leurs propres affaires. L'ensemble de la phrase fixe le sens de ces mots. Autrement ils pourraient aussi signifier : « pour des griefs que Philippe élève contre eux-mêmes » : car généralement la locution ἔγκλημα πρός τινα veut dire « un grief contre quelqu'un ». Le scholiaste s'est trompé.

6. Πεπόνθασιν. Nous ignorons quel mal Philippe avait fait aux Olynthiens. Tout ce qu'on sait, c'est qu'Olynthe s'étant rapprochée d'Athènes, Philippe fit une démonstration militaire contre cette ville peu de temps avant la première Philippique (§ 17), et que depuis ce moment les deux voisins se défiaient l'un de l'autre (*Olynth*. III, 7).

8. Ὅθ' ἥκομεν, quand nous étions revenus. Il s'agit de la première des trois campagnes que les Athéniens firent dans l'Eubée du temps de Démosthène, celle de 357. Voir *Phil*. I, § 17, avec la note.

9-10. Παρῆσαν.... ἐπὶ τοῦτο τὸ βῆμα. Cf. la note sur παρ' αὐτὸν ὄντα, *Rhodiens*, 7, ainsi que ἐκεῖσ' εἰσὶν αἱ χεῖρες, *Phil*. I, 40. Quant aux faits, voyez la *Notice* sur la première Philippique.

14-15. Πραγμάτων, *negotiorum*, a ici le sens de « embarras, affaires fâcheuses ». — Πύδνα.... Παγασαί. Voir la *Notice* citée. L'orateur énumère ces sièges dans l'ordre des temps.

διατρίβω, πολιορκούμεν' ἀπηγγέλλετο, εἰ τότε τούτων ἑνὶ τῷ πρώτῳ προθύμως καὶ ὡς προσῆκεν ἐβοηθήσαμεν αὐτοί, ῥᾴονι καὶ πολὺ ταπεινοτέρῳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. Νῦν δὲ τὸ μὲν παρὸν ἀεὶ προϊέμενοι, τὰ δὲ μέλλοντ' αὐτόματ' οἰόμενοι σχήσειν καλῶς, ηὐξήσαμεν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον ἡμεῖς, καὶ κατεστήσαμεν τηλικοῦτον ἡλίκος οὐδείς πω βασιλεὺς γέγονεν Μακεδονίας. Νυνὶ δὴ καιρὸς ἥκει τις οὗτος [ὁ τῶν Ὀλυνθίων] αὐτόματος τῇ πόλει, ὃς οὐδενός ἐστιν ἐλάττων τῶν προτέρων ἐκείνων. [10] Καὶ ἔμοιγε δοκεῖ τις ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιος λογιστὴς τῶν παρὰ τῶν θεῶν ἡμῖν ὑπηργμένων καταστάς, καίπερ οὐκ ἐχόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλην ἂν ἔχειν αὐτοῖς χάριν, εἰκότως· τὸ μὲν γὰρ πόλλ' ἀπολωλεκέναι κατὰ τὸν πόλεμον τῆς ἡμετέρας ἀμελείας ἄν τις θείη δικαίως, τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι πεφηνέναι τέ τιν' ἡμῖν συμμαχίαν τούτων ἀντίρροπον, ἂν βουλώμεθα χρῆσθαι, τῆς παρ' ἐκείνων εὐνοίας εὐεργέτημ' ἂν ἔγωγε θείην. [11] Ἀλλ', οἶμαι, παρόμοιόν ἐστιν ὅπερ καὶ περὶ τῆς τῶν χρημάτων κτή-

NC. 6. πω S. Variantes : ποτε et πώποτε. — 7. γέγονε mss. — νυνὶ δὴ B. νῦν ἤδη S seul. νυνὶ δὲ vulg. — [ὁ τῶν Ὀλυνθίων] Herwerden, Mnemos. 1875, p. 120. — 9. πρότερον S. — 10. ὑπηργμένων vulg. ὑπειργασμένων S et Vomel. — 13. κατὰ τὸν πόλεμον vulg. κατὰ πόλεμον S. — 16. εὐεργέτημα est suspect à Herwerden. — 17 ὥσπερ καὶ Dobree.

1-2. Τούτων ἑνὶ τῷ πρώτῳ, à la première venue de ces villes. Franke a cité Isée, *Héritage de Ciron*, § 33 : Πρὸς ἕνα δὲ τὸν πρῶτον τῶν συγγενῶν ἐπεξῄει. — Ῥᾴονι, « plus facile à manier, » équivaut à ἧττον χαλεπῷ.

3. Νῦν δέ, mais par le fait. Cf. *Symm.* § 30. *Phil.* I, § 42.

6. Ἡμεῖς, nous-mêmes, de nos propres mains. En rejetant ἡμεῖς à la fin de la phrase, l'orateur insiste sur l'idée que renferme ce pronom. Comp. *Couronne*, 173 : Ἐφάνην τοίνυν οὗτος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγώ.

7-8. Νυνὶ δὴ καιρός. Par cette transition, l'orateur rappelle les mots παραπεπτωκότα καιρόν, § 8, au commencement, et il reprend la pensée qu'il y avait indiquée. — Ὁ τῶν Ὀλυνθίων, l'occasion des Olynthiens, c.-à-d. l'occasion que nous offre la requête des Olynthiens.

10. Τῶν.... ὑπηργμένων, de ce que les dieux ont fait pour nous de leur propre mouvement (*ultro*). Le verbe ὑπάρχειν marque l'initiative. On cite *Ambassade*, 230 : Τὰς εὐεργεσίας ἃς ὑπῆρξεν εἰς ὑμᾶς.

12. Ἂν ἔχειν. La nature conditionnelle de la phrase avait déjà été marquée dès le début par un premier ἄν. Cf. *Symm.* 27.

13. Τῆς ἡμετέρας ἀμελείας.... θείη, on le mettrait sur le compte (λόγος) de notre négligence. Les mots θείη δικαίως rappellent δίκαιος λογιστής, l. 10.

14. Πεφηνέναι τε, après μήτε. Cf. *Phil.* I, 51, où τε répond à οὔτε.

15. Ἂν βουλώμεθα χρῆσθαι, si nous voulons en profiter, en tirer parti. Ces mots ne prouvent pas que les Athéniens aient encore délibéré alors s'il fallait conclure le traité d'alliance; mais ils ne prouvent pas le contraire non plus.

17. Παρόμοιόν ἐστιν ὅπερ équivaut à

σεως· ἂν μὲν γάρ, ὅσ' ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν, ἂν δ' ἀναλώσας λάθῃ, συνανήλωσε καὶ τὸ μεμνῆσθαι τὴν χάριν. Καὶ περὶ τῶν πραγμάτων οὕτως οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς, οὐδ' εἰ συνέβη τι παρὰ τῶν θεῶν χρηστὸν, μνημονεύουσιν· πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν πρὶν ὑπαρξάντων κρίνεται. Διὸ καὶ σφόδρα δεῖ τῶν λοιπῶν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φροντίσαι, ἵνα ταῦτ' ἐπανορθωσάμενοι τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτριψώμεθα. [12] Εἰ δὲ προησόμεθ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τούτους τοὺς ἀνθρώπους, εἶτ' Ὄλυνθον ἐκεῖνος καταστρέψεται, φρασάτω τις ἐμοὶ τί τὸ κωλῦον ἔτ' αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται. Ἆρα λογίζεταί τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρεῖ τὸν τρόπον δι' ὃν μέγας γέγονεν ἀσθενὴς ὢν τὸ κατ' ἀρχὰς Φίλιππος; Τὸ πρῶτον Ἀμφίπολιν λαβὼν, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτείδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη· [13] μετὰ ταῦτα Φερὰς, Παγασὰς, Μαγνησίαν πάνθ' ὃν ἐβούλετ' εὐτρεπίσας τρόπον ᾤχετ' εἰς Θρᾴκην· εἶτ' ἐκεῖ τοὺς μὲν ἐκβαλὼν, τοὺς δὲ καταστήσας τῶν βασιλέων ἠσθένησεν· πάλιν ῥαΐσας οὐκ ἐπὶ τὸ ῥᾳθυμεῖν ἀπέκλινεν, ἀλλ' εὐθὺς Ὀλυνθίοις ἐπεχείρησεν. Τὰς δ'

NC. 2. συνανήλωσε S. συνανάλωσε vulg. — 3. τὴν χάριν S. Avant ces mots, la vulgate, ainsi qu'Hermogène (t. III, p. 285) et d'autres rhéteurs, répète τῇ τύχῃ. Cobet et Tournier suppriment aussi les mots τὴν χάριν. — 6. πρὶν ὑπαρξάντων S. προϋπαρξάντων vulg. — 6. Avant κρίνεται, la vulgate insère ὡς τὰ πολλὰ. — 7. ὑμᾶς S. ἡμᾶς vulg. — 11. ἆρα S. ἆρά γε vulg. — 18. ῥᾴσας Herwerden.

παρόμοιόν ἐστι τούτῳ ὅπερ γίγνεται. Cf. *Phil.* II, § 36 : Ἐν ὁμοίῳ πολέμῳ δι' ὃν τότε τῆς εἰρήνης ἐπεθύμησεν.

1. **Καί**, aussi. Σώσῃ est gouverné par ἄν.

4. **Οὐδ(έ)**, pas non plus.

7. **Ταῦτ(α)**, c.-à-d. τὰ λοιπά.

8. **Ἀποτριψώμεθα.** Ce verbe signifie au propre : « enlever une tache en frottant. » Scholiaste : Ἀπὸ μεταφορᾶς τῆς κηλῖδος, τῆς γενομένης ἀκαθαρσίας περὶ τὴν ἐσθῆτα.

10. **Εἶτ(α)**, et qu'ensuite. Cette phrase dépend encore de εἰ.

11. **Ὅποι βούλεται.** Au § 15, l'orateur dira sans détour que Philippe serait alors libre d'attaquer l'Attique elle-même.

13 sqq. **Τὸ πρῶτον Ἀμφίπολιν....** Démosthène énumère ici les progrès de Philippe dans leur ordre chronologique. Voir la *Notice* sur la première Philippique.

16. **Πάντ(α)** se rattache, je crois, à τρόπον, et ne veut pas dire *omnia*. — **Εὐτρεπίσας.** L'orateur se sert de cette expression parce que Philippe ne s'empara point de la ville de Phères.

18. **Ῥαΐσας** équivaut à ῥᾷον ἔχων ἐκ τῆς νόσου [Harpocration]. Le scholiaste fait observer que ce mot dit moins que ὑγιάνας, et qu'il n'indique que le commencement de la convalescence.

19. **Ὀλυνθίοις ἐπεχείρησεν**, il fit une tentative contre Olynthe. Cf. *Couronne*, § 71 : Μεγάροις ἐπιχειρῶν. Il ne s'agit pas ici du commencement de la guerre olynthienne, mais de la courte expédition déjà mentionnée dans *Phil.* I, § 17.

ἐπ' Ἰλλυριοὺς καὶ Παίονας αὐτοῦ καὶ πρὸς Ἀρύββαν καὶ ὅποι τις ἂν εἴποι παραλείπω στρατείας.

[14] Τί οὖν, ἂν τις εἴποι, ταῦτα λέγεις ἡμῖν νῦν; Ἵνα γνῶτ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αἴσθησθ' ἀμφότερα, καὶ τὸ προΐεσθαι καθ' ἕκαστον ἀεί τι τῶν πραγμάτων ὡς ἀλυσιτελὲς, καὶ τὴν φιλοπραγμοσύνην ᾗ χρῆται καὶ συζῇ Φίλιππος, ὑφ' ἧς οὐκ ἔστιν ὅπως ἀγαπήσας τοῖς πεπραγμένοις ἡσυχίαν σχήσει. Εἰ δ' ὁ μὲν ὡς ἀεί τι μεῖζον τῶν ὑπαρχόντων δεῖ πράττειν ἐγνωκὼς ἔσται, ἡμεῖς δ' ὡς οὐδενὸς ἀντιληπτέον ἐρρωμένως τῶν πραγμάτων, σκοπεῖσθ' εἰς τί ποτ' ἐλπὶς ταῦτα τελευτῆσαι. [15] Πρὸς θεῶν, τίς οὕτως εὐήθης ἐστὶν ὑμῶν ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρ' ἥξοντα, ἂν ἀμελήσωμεν; Ἀλλὰ μὴν, εἰ τοῦτο γενήσεται, δέδοιχ', ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τόκοις μεγάλοις μικρὸν εὐπο-

NC. 1. ἀρυββαν S. ἀρύμβαν vulg. La véritable orthographe de ce nom propre est attestée par une inscription. Cf. E. Curtius, *Inscr. Att.* p. 12 sqq. — 3. τις ἂν εἴποι S. Cf. § 19. Ces mots, répétés à si peu de distance, sont avec raison suspects à Cobet. — 6. Entre ᾗ et χρῆται, la vulgate insère πρὸς ἅπαντας, mots qui sont à leur place au commencement de la *Midienne* et dans *Phil.* IV, § 2. — 9. ὑμεῖς vulg. — 10. σκοπεῖτε vulg. — 14. ἐπὶ τόκοις μεγάλοις est notre correction. ἐπὶ τοῖς μεγάλοις τόκοις manuscrits. On a vainement essayé de justifier l'article. La faute τοῖς pour τόκοις aura été mal corrigée par l'addition de ce dernier mot. On lit chez Priscien, *Instit. gramm.* XVIII, 296 Keil (p. 1209 Putsch.), ἐπὶ τοῖς μεγάλοις, sans τόκοις.

1. Ἐπ' Ἰλλυρίους καὶ Παίονας αὐτοῦ.... παραλείπω στρατείας. Démosthène ne mentionne que rapidement les campagnes de Philippe dans le Nord et dans l'Est. Elles semblaient moins inquiétantes pour les Grecs que les progrès du roi dans la Thrace et dans les pays helléniques. — Ἀρύββαν. Ce prince des Molosses était fils d'Alcétas et oncle d'Olympias, la mère d'Alexandre (cf. les scholies, Harpocration, Plutarque, *Pyrrhus*, 1, et *Alexandre*, 2, Justin, VII, 6). On ne sait pas au juste quand Philippe fit contre son parent la campagne rappelée ici par Démosthène.

6. Συζῇ renchérit sur χρῆται. L'activité est inséparable de Philippe, elle fait partie de sa vie, de son existence.

7. Ἀγαπήσας. Ἀγαπᾶν, comme στέργειν, prend souvent le sens de « se contenter, se résigner ».

8. Πράττειν, chercher à obtenir. Tel doit être ici le sens de ce verbe, puisque τῶν ὑπαρχόντων indique les résultats déjà obtenus. Cf. *Couronne*, 162 : Βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν.

10. Ἐλπίς (sous-ent. ἐστι), attente. Cf. *Ambass.* § 240 : Δεινὸν ἄν τι παθεῖν σαυτὸν ἤλπιζες.

11-12. Ὅστις (pour ὥστε), après τίς οὕτως εὐήθης, est dit d'après l'analogie de τίς ἐστιν, ὅστις. Cf. *Chersonèse*, § 44 : Οὐ γὰρ οὕτω γ' εὐήθης ἐστὶν οὐδεὶς ὃς ὑπολαμβάνει. — Τὸν ἐκεῖθεν πόλεμον δεῦρ' ἥξοντα. Hellénisme usuel pour τὸν ἐκεῖ πόλεμον ἐκεῖθεν δεῦρο ἥξοντα.

14. Ῥᾳδίως, « légèrement, étourdiment, » ainsi que ἐπὶ τόκοις μεγάλοις, « à gros intérêts, » doit être rattaché à δανειζόμενοι. On verra tout de suite pourquoi l'orateur ajoute ῥᾳδίως.

ρήσαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν, οὕτω καὶ ἡμεῖς ἐπὶ πολλῷ φανῶμεν ἐρρᾳθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες πολλὰ καὶ χαλεπὰ ὧν οὐκ ἐβουλόμεθα ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ.

[16] Τὸ μὲν οὖν ἐπιτιμᾶν ἴσως φήσαι τις ἂν ῥᾴδιον καὶ παντὸς εἶναι, τὸ δ' ὑπὲρ τῶν παρόντων ὅ τι δεῖ πράττειν ἀποφαίνεσθαι, τοῦτ' εἶναι συμβούλου. Ἐγὼ δ' οὐκ ἀγνοῶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ', ὅτι πολλάκις ὑμεῖς οὐ τοὺς αἰτίους, ἀλλὰ τοὺς 14
ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε, ἄν τι μὴ κατὰ γνώμην ἐκβῇ· οὐ μὴν οἶμαι δεῖν τὴν ἰδίαν ἀσφάλειαν σκοποῦνθ' ὑποστείλασθαι περὶ ὧν ὑμῖν συμφέρειν ἡγοῦμαι. [17] Φημὶ δὴ διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σῴζειν καὶ τοὺς τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν ἐκείνου χώραν κακῶς ποιεῖν καὶ τριήρεσι καὶ στρατιώταις ἑτέροις· εἰ δὲ θατέρου τούτων ὀλιγωρήσετε, ὀκνῶ μὴ μάταιος ἡμῖν ἡ στρατεία γένηται. [18] Εἴτε γὰρ ὑμῶν τὴν ἐκείνου κακῶς ποιούντων, ὑπομείνας τοῦτ' Ὄλυνθον παραστήσεται, ῥᾳδίως ἐπὶ τὴν οἰκείαν ἐλθὼν ἀμυνεῖται· εἴτε βοηθησάντων μόνον ὑμῶν εἰς Ὄλυνθον, ἀκιν-

NC. 2. ἡμεῖς Dobree. ἡμεῖς ἂν mss. — 3. Cobet écarte καὶ χαλεπά. Tournier veut ὧν οὐδέν. Peut-être χαλεπώτερ' ὧν. — 11. οἶμαί γε vulg. — 17. Variante : ὑμῖν. — 18. ὑμῶν <μόνον> Cobet. — 20. Pour ἀμυνεῖται, S^1 portait ἀμῦναι.

1. **Καὶ τῶν ἀρχαίων ἀπέστησαν**, abandonnent (ont plus d'une fois abandonné) le capital même. Ἀπέστησαν se rapproche du latin *bonis cedere*.

2. **Ἐπὶ πολλῷ φανῶμεν ἐρρᾳθυμηκότες**, je crains qu'il ne devienne évident à la fin que nous avons été insouciants à un haut prix. Ἐπὶ πολλῷ répond à ἐπὶ τόκοις μεγάλοις, comme ἐρρᾳθυμηκότες a pour pendant δανειζόμενοι ῥᾳδίως.

3. **Ζητοῦντες**, sous-ent. ποιεῖν. Nous ne pensons pas qu'on puisse dire ἅπαντα πρὸς ἡδονὴν ζητεῖν, comme on dit ἅπαντα πρὸς ἡδονὴν ἀναφέρειν. — Ὧν. Ce génitif dépend de πολλά. Cf. NC.

12. **Ὑποστείλασθαι περὶ ὧν**, garder une réserve prudente au sujet de choses que.... Cf. *Phil.* I, § 51 : οὐδὲν ὑποστειλάμενος, et la note. *Midienne*, § 70 : Τῷ μηδὲν ὑποστειλαμένῳ πρὸς ὕβριν, opposé à τὴν τοῦ παθόντος εὐλάβειαν.

13. **Διχῇ βοηθητέον... τοῖς πράγμασιν**, il faut rétablir les affaires au moyen d'un double secours. Cf. § 2 : Ὑπὲρ σωτηρίας αὐτῶν, *i. e.* τῶν πραγμάτων.

14. **Τὰς πόλεις τοῖς Ὀλυνθίοις σῴζειν.** On voit que des villes de la confédération chalcidique étaient assiégées (cf. § 18) par Philippe, mais qu'Olynthe elle-même ne l'était pas encore.

16. **Ἑτέροις**, autres, différents des premiers. Ce mot est placé à la fin de la phrase, parce que l'orateur insiste sur l'idée qu'il renferme.

δύνως ὁρῶν ἔχοντα τὰ οἴκοι, προσκαθεδεῖται καὶ προσεδρεύσει τοῖς πράγμασι, περιέσται τῷ χρόνῳ τῶν πολιορκουμένων. Δεῖ δὴ πολλὴν καὶ διχῆ τὴν βοήθειαν εἶναι.

[19] Καὶ περὶ μὲν τῆς βοηθείας ταῦτα γιγνώσκω· περὶ δὲ χρημάτων πόρου, ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, χρήμαθ' ὑμῖν, ἔστιν ὅσ' οὐδενὶ τῶν ἄλλων ἀνθρώπων [στρατιωτικά]· ταῦτα δ' ὑμεῖς οὕτως ὡς βούλεσθε λαμβάνετε. Εἰ μὲν οὖν ταῦτα τοῖς στρατευομένοις ἀποδώσετε, οὐδενὸς ὑμῖν προσδεῖ πόρου, εἰ δὲ μή, προσδεῖ, μᾶλλον δ' ἅπαντος ἐνδεῖ τοῦ πόρου. Τί οὖν, ἄν τις εἴποι, σὺ γράφεις ταῦτ' εἶναι στρατιωτικά; Μὰ Δί' οὐκ ἔγωγε. [20] Ἐγὼ μὲν γὰρ ἡγοῦμαι στρατιώτας δεῖν κατασκευασθῆναι καὶ εἶναι στρατιωτικὰ καὶ μίαν σύνταξιν εἶναι τὴν αὐτὴν τοῦ τε λαμβάνειν καὶ τοῦ ποιεῖν τὰ δέοντα, ὑμεῖς δ' οὕτω πως ἄνευ πραγμάτων λαμβάνειν εἰς τὰς ἑορτάς. Ἔστι δὴ λοιπόν, οἶμαι, πάντας εἰσφέρειν, ἂν πολλῶν δέῃ, πολλά, ἂν ὀλίγων, ὀλίγα. Δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι

NC. 6. Pour οὐδενί, Dindorf écrit οὐδέσι. — 6. στρατιωτικά. J'ai mis ce mot entre crochets, d'après Madvig, *Adversaria crit.*, I, p. 466. — 12. καὶ εἶναι, correction de Bekker. καὶ ταῦτ' εἶναι manuscrits. Le mot ταῦτ', qui était à sa place à la ligne 10, fait ici un contre-sens. Dobree et Dindorf écartent toute la phrase καὶ.... στρατιωτικά. — 15. λαμβάνειν S. λαμβάνετε vulg. ταῦτα λαμβάνετε variante.

1. Προσκαθεδεῖται καὶ προσεδρεύσει. Ces verbes, qui expriment l'*assiduité* persévérante, opiniâtre, sont d'autant mieux à leur place, que Philippe est occupé à faire des siéges.

4. Περὶ δέ. Ici περί, comme le latin *de*, répond à « quant à, pour ce qui est de ».

7. Οὕτως, comme cela, sans scrupule, sans vous en mettre autrement en peine. Οὕτως n'est pas simplement l'antécédent de ὡς, mais ὡς βούλεσθε, « à votre gré, » est une détermination plus précise ajoutée à οὕτως. Cf. § 20 : οὕτω; ἄνευ πραγμάτων.

8. Ἀποδώσετε. Ce verbe veut dire « rendre à qui de droit ». Cf. *Halonnèse*, 5 : Ἄν τε λάβητε, ἄν τ' ἀπολάβητε.

9. Προσδεῖ, il vous en faut encore, il vous faut une autre ressource. — Ἅπαντος ἐνδεῖ τοῦ πόρου, toute espèce de ressource vous fait défaut. La ressemblance des mots ajoute à l'amertume de l'antithèse.

10. Γράφεις. Ce verbe indique une motion formelle, nécessairement rédigée par écrit. Cf. *Philipp.* I, § 33. Démosthène se défend de faire une telle motion. Voir la *Notice*.

12-13. Μίαν σύνταξιν.... τὰ δέοντα, et qu'il y ait un seul et même ordre établi pour le salaire à recevoir et pour l'accomplissement du devoir, c.-à-d. il faut que le salaire soit attaché et proportionné aux services rendus. Cf. *Symmories*, § 23 : Καὶ μία σύνταξις καὶ πασῶν τῶν νεῶν καὶ μέρους ἔσται.

13-14. Ὑμεῖς δ(έ). Sous-ent. ἡγεῖσθε δεῖν. — Ἄνευ πραγμάτων, sans vous donner de mal.

15. Πάντας εἰσφέρειν, que tous contribuent de leur fortune. Il s'agit d'un impôt général, et non de dons volontaires.

γενέσθαι τῶν δεόντων. Λέγουσι δὲ καὶ ἄλλους τινὰς ἄλλοι πόρους· ὧν ἕλεσθ' ὅστις ὑμῖν συμφέρειν δοκεῖ, καὶ ἕως ἐστὶ καιρὸς, ἀντιλάβεσθε τῶν πραγμάτων.

[21] Ἄξιον δ' ἐνθυμηθῆναι καὶ λογίζεσθαι τὰ πράγματ' ἐν ᾧ καθέστηκε νυνὶ τὰ Φιλίππου. Οὔτε γὰρ, ὡς δοκεῖ καὶ φήσειέ τις ἂν μὴ σκοπῶν ἀκριβῶς, εὐτρεπῶς οὐδ' ὡς ἂν κάλλιστ' αὐτῷ τὰ παρόντ' ἔχει, οὔτ' ἂν ἐξήνεγκε τὸν πόλεμόν ποτε τοῦτον ἐκεῖνος, εἰ πολεμεῖν ᾠήθη δεήσειν αὐτὸν, ἀλλ' ὡς ἐπιὼν ἅπαντα τότ' ἤλπιζε τὰ πράγματ' ἀναιρήσεσθαι, κᾆτα διέψευσται. Τοῦτο δὴ πρῶτον αὐτὸν ταράττει παρὰ γνώμην γεγονὸς καὶ πολλὴν ἀθυμίαν αὐτῷ παρέχει, εἶτα τὰ τῶν Θετταλῶν. [22] Ταῦτα γὰρ ἄπιστα μὲν ἦν δήπου φύσει καὶ ἀεὶ πᾶσιν ἀνθρώποις, κομιδῇ δ', ὥσπερ ἦν, καὶ ἔστι νῦν τούτῳ. Καὶ γὰρ Παγασὰς ἀπαιτεῖν αὐτόν εἰσιν ἐψηφισμένοι καὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν. Ἤκουον δ' ἔγωγέ τινων ὡς οὐδὲ τοὺς λιμένας καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρποῦσθαι· τὰ γὰρ κοινὰ τὰ Θετταλῶν ἀπὸ

NC. 2. ὑμῖν συμφέρειν δοκεῖ S. ὑμῖν ἂν συμφέρειν δοκῇ vulg. — τέως Blass. — 5. τὰ τοῦ Φιλίππου vulg. — 6. εὐτρεπῶς S. εὐπρεπῶς vulg. — 7. ἔχει Dindorf. ἔχῃ S et vulg. ἔχοι variante. — 9. ἀναρτήσεσθαι Badham. — 12. ἀεὶ καὶ Dobree.

2. Ὧν, parmi ces ressources indiquées soit par d'autres, soit par Démosthène lui-même.

6. Εὐτρεπῶς, *expedite*, *parate*. Cf. *Phil.* I, 18. — Ὡς ἂν κάλλιστ(α), sous-ent. ἔχοι. Cf. *Phil.* I, 6 : ἔχει.... ὡς ἂν ἔλθὼν τις ἔχοι πολέμῳ.

8. Ὡς ἐπιών, « h. e. οὕτως ὡς ἐπιών « τις ἀναιρεῖται, primo statim impetu et « aggressu, ὡς ἐξ ἐπιδρομῆς. [Reiske.] » Sauppe compare les locutions ὡς ἀληθῶς, ὡς ἑτέρως, ὡς τάχος, etc. Ici ὡς n'est pas facile à expliquer. Aurait-il le sens de « en quelque sorte ? »

9. Τότ(ε), alors, c.-à-d. ὅτ' ἐξήνεγκε τὸν πόλεμον. On voit que ce discours ne fut pas prononcé tout à fait au commencement de la guerre de Philippe avec Olynthe.

11-12. Ταῦτα, c.-à-d. τὰ τῶν Θετταλῶν, les dispositions des Thessaliens, ou bien : les Thessaliens. — Καὶ ἀεὶ πᾶσιν ἀνθρώποις. Les mots ἀεὶ πᾶσιν font corps. Quant à καί, nous ne l'expliquons ni par *atque*, ni par *idque*, mais nous le prenons pour le corrélatif du καί de la phrase suivante. — Du reste, la mauvaise foi des Thessaliens était proverbiale. On cite *Contre Aristocrate*, § 112 : Ὑμεῖς μὲν.... οὐδένα προυδώκατε πώποτε τῶν φίλων, Θετταλοὶ δ' οὐδένα πώποθ' ὅντιν' οὔ. Schol. Aristoph. *Plut.* 521. Zenobius, *Prov.* IV, 21.

13. Παγασάς. Après avoir défait Onomarque et chassé les tyrans de Phères, Philippe s'était emparé du port de Pagases : on l'a vu dans la première Philippique.

14. Μαγνησίαν. Plus tard, Philippe III mit une garnison permanente dans cette ville, qu'il regardait comme une des clefs de la Grèce. (Cf. Pausanias, VII, vii, 6.) Elle se trouvait dans le pays des Magnètes, lequel formait la bordure montagneuse de la Thessalie du côté de l'Archipel. Philippe comprit dès lors l'importance de cette position et voulait la fortifier. Cf. *Olynth.* II, § 11.

16. Καρποῦσθαι, jouir des revenus, prélever les droits.

τούτων δέοι διοικεῖν, οὐ Φίλιππον λαμβάνειν. Εἰ δὲ τούτων ἀποστερηθήσεται τῶν χρημάτων, εἰς στενὸν κομιδῇ τὰ τῆς τροφῆς τοῖς ξένοις αὐτῷ καταστήσεται. [23] Ἀλλὰ μὴν τόν γε Παίονα καὶ τὸν Ἰλλυριὸν καὶ ἁπλῶς τούτους ἅπαντας ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους ἢ δούλους εἶναι· καὶ γὰρ ἀήθεις τοῦ κατακούειν τινός εἰσι, καὶ ἄνθρωπος ὑβριστής,
16 ὥς φασιν. Καὶ μὰ Δί' οὐδὲν ἄπιστον ἴσως· τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεται· διόπερ πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον εἶναι. [24] Δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἀκαιρίαν τὴν ἐκείνου καιρὸν ὑμέτερον νομίσαντες ἑτοίμως συνάρασθαι τὰ πράγματα, καὶ πρεσβευομένους ἐφ' ἃ δεῖ καὶ στρατευομένους αὐτοὺς καὶ παροξύνοντας τοὺς ἄλλους ἅπαντας, λογιζομένους, εἰ Φίλιππος λάβοι καθ' ἡμῶν τοιοῦτον καιρὸν καὶ πόλεμος γένοιτο πρὸς τῇ χώρᾳ, πῶς ἂν αὐτὸν οἴεσθ' ἑτοίμως ἐφ' ἡμᾶς ἐλθεῖν; Εἶτ' οὐκ αἰσχύνεσθ', εἰ μηδ' ἃ

NC. 1-2. ἀποστερήσεται Y, Cobet. ἂν et ἀποστερηθῇ vulg. — 6. ἄνθρωπος Bekker. ἄνθρωπος manuscrits. — 11. ὑμέτερον vulg. ἡμέτερον S. — 16. ἡμᾶς vulg. ὑμᾶς S.

1. Λαμβάνειν. Suppléez ταῦτα, « ces revenus, » renfermé dans ἀπὸ τούτων.

3. Τοῖς ξένοις, pour les troupes mercenaires. Ce datif se rattache à τὰ τῆς τροφῆς. Cf. *Phil.* I, § 28 : Σιτηρέσιον τῇ δυνάμει ταύτῃ.

3-4. Τόν γε Παίονα καὶ τὸν Ἰλλυριόν. Il est vrai que le singulier des noms de peuple se met souvent pour le pluriel. Cependant Sauppe semble avoir raison d'entendre ici les princes des Péoniens et des Illyriens plutôt que les peuples. Ces peuples tenaient sans doute à être indépendants, αὐτόνομοι ; mais les qualifications de ἐλεύθεροι et ἀήθεις τοῦ κατακούειν τινός ne peuvent guère s'appliquer à eux. — Τούτους ἅπαντας. Les autres Barbares soumis par Philippe.

8. Κακῶς φρονεῖν, sortir des sentiments raisonnables et modérés, tomber dans l'orgueil et dans l'insolence. Cette locution se rencontre souvent chez les tragiques.

9-10. Διόπερ... χαλεπώτερον εἶναι. Rehdantz cite Xénophon, *Cyrop.* VII, v, 76 : Κτῶνται μὲν τἀγαθὰ τῷ καλῶς βουλεύεσθαι καὶ μηδενὸς καταφρονεῖν, φυλάττειν δ' οὐκ ἐθέλουσι τοῖς αὐτοῖς.

11. Τὴν ἀκαιρίαν.... καιρὸν ὑμέτερον. On cite Cicéron, *Ad Famil.* X, 4 : « Ne « hæ gentes nostra mala suam putent « occasionem. » Tite-Live. IV, 58 : « Tantum abfuit ut ex incommodo alieno « sua occasio peteretur. »

12-13. Συνάρασθαι. Scholiaste : Σὺν τῇ τύχῃ. D'autres entendent : « de concert avec les Olynthiens. » Mais la première explication résulte plus naturellement des mots qui précèdent. Démosthène dit aux Athéniens : Le ciel vous aide, aidez-vous. — Ἐφ' ἃ δεῖ, pour les objets qui ont besoin d'être traités par ambassades.

15-16. Πρὸς τῇ χώρᾳ, sous-ent. τῇ ἡμετέρᾳ. — Πῶς ἂν οἴεσθε.... ἐλθεῖν. Tournure vive pour ὡς ἂν.... ἔλθοι, ce qui se rattacherait plus régulièrement à λογιζομένους. Cf. *Midienne*, 209.

πάθοιτ' ἄν, εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ τολμήσετε;

[25] Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μηδὲ τοῦθ' ὑμᾶς λανθανέτω, ὅτι νῦν αἵρεσίς ἐστιν ὑμῖν πότερ' ὑμᾶς ἐκεῖ χρὴ πολεμεῖν ἢ παρ' ὑμῖν ἐκεῖνον. Ἐὰν μὲν γὰρ ἀντέχῃ τὰ τῶν Ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε καὶ τὴν ἐκείνου κακῶς ποιήσετε, τὴν ὑπάρχουσαν καὶ τὴν οἰκείαν ταύτην ἀδεῶς καρπούμενοι· ἂν δ' ἐκεῖνα Φίλιππος λάβῃ, τίς αὐτὸν κωλύσει δεῦρο βαδίζειν; [26] Θηβαῖοι; Μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, καὶ συνεισβαλοῦσιν ἑτοίμως. Ἀλλὰ Φωκεῖς; Οἱ τὴν οἰκείαν οὐχ οἷοί τ' ὄντες φυλάττειν, ἐὰν μὴ βοηθήσηθ' ὑμεῖς. Ἢ ἄλλος τις; Ἀλλ', ὦταν, οὐχὶ βουλήσεται. Τῶν ἀτοπωτάτων μεντἂν εἴη, εἰ, ἃ νῦν ἄνοιαν ὀφλισκάνων ὅμως ἐκλαλεῖ, ταῦτα δυνηθεὶς μὴ

NC. 1. οὐ τολμήσετε manuscrits et Hermogène, t. III, p. 162 et 165. Cobet veut qu'on supprime οὐ. Voir la note explicative. — 4. πότερ' S. πότερον vulg. — 8. Après αὐτὸν la vulgate insère ἔτι. — 9. Dindorf ajoute οἴ, εἰ avant μή, et supprime ᾖ après εἰπεῖν, sans motif suffisant. — 11. La ponctuation ὑμεῖς ἢ ἄλλος τις est préférée par Blass.

1. Εἰ δύναιτ' ἐκεῖνος, s'il en avait le pouvoir, c.-à-d. de vous le faire éprouver, idée qu'il faut tirer de πάθοιτ(ε). Si l'orateur avait sous-entendu ποιῆσαι, il aurait ajouté αὐτοί dans le membre de phrase suivant.

2. Οὐ τολμήσετε. Cette seconde négation est tout à fait irrégulière. On sent cependant qu'en la supprimant on affaiblirait singulièrement la chute de cette phrase. Bremi a compris qu'il y avait ici un anacoluthe. Après s'être servi d'abord de la tournure plus calme οὐκ αἰσχύνεσθ' εἰ μηδέ, l'orateur, entraîné par son indignation, passe à la question directe οὐ τολμήσετε. Le démonstratif ταῦτα, qui résume le régime déjà énoncé, ménage la transition de la première à la seconde tournure. — Dans sa dernière édition, Vœmel prétend que οὐ τολμήσετε est ici construit avec μή et l'infinitif, d'après l'analogie de φοβοῦμαι, οὐκ ἐῶ, etc. Il n'aurait pas dû citer, à l'appui de cette assertion, Polybe, IV, 64 : Ὥστε μηδ' εἰσελθεῖν μηδένα τολμῆσαι. Cette phrase équivaut à ὥστε οὐδ' εἰσελθεῖν οὐδεὶς ἐτόλμησεν.

7. Τὴν ὑπάρχουσαν.... ταύτην, ce pays-ci que vous possédez et qui vous appartient en propre.

9. Μὴ λίαν.... ᾖ, je crains que le mot ne soit dur (mais il est vrai). On cite la phrase plus complète *Phil.* III, 1 : Δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δ' ᾖ. — Ἐὰν μὴ βοηθήσηθ' ὑμεῖς. En 352, les Athéniens avaient couvert les Thermopyles. Ce fait est rappelé dans la première Philippique, § 17.

11. Ἢ ἄλλος τις; La réponse à cette question s'entendait assez d'elle-même. Les Athéniens ne pouvaient compter sur aucun secours. Les mots : Ἀλλ(ὰ).... οὐχὶ βουλήσεται; sont une nouvelle objection que Démosthène se fait adresser par un interlocuteur fictif.

12. Τῶν ἀτοπωτάτων. Génitif partitif du pluriel neutre. Cf. *Ol.* II, 2 : Ἐστ' τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων

13. Ἄνοιαν ὀφλισκάνων. Cf. *Phil.* I, § 42. — Ἐκλαλεῖ, *effutit*, *deblaterat*. [G. H. Schæfer.] Sauppe cite Cicéron, *Milon*. § 44 : « Quum ille non dubitarit « aperire quid cogitaret, vos potestis du- « bitare quid fecerit ? »

πράξει. [27] Ἀλλὰ μὴν ἡλίκα γ' ἐστὶ τὰ διάφορα ἐνθάδ' ἢ 'κεῖ πολεμεῖν, οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι. Εἰ γὰρ ὑμᾶς δεήσειεν αὐτοὺς τριάκοντα ἡμέρας μόνας ἔξω γενέσθαι καὶ ὅσ'
17 ἀνάγκη στρατοπέδῳ χρωμένους τῶν ἐκ τῆς χώρας λαμβάνειν, μηδενὸς ὄντος ἐν αὐτῇ πολεμίου λέγω, πλεῖον' ἂν οἶμαι ζημιωθῆναι τοὺς γεωργοῦντας ὑμῶν ἢ ὅσ' εἰς ἅπαντα τὸν πρὸ τοῦ πόλεμον δεδαπάνησθε. Εἰ δὲ δὴ πολεμός τις ἥξει, πόσα χρὴ νομίσαι ζημιώσεσθαι; καὶ πρόσεσθ' ἡ ὕβρις καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσιν.

[28] Πάντα δὴ ταῦτα δεῖ συνιδόντας ἅπαντας βοηθεῖν καὶ ἀπωθεῖν ἐκεῖσε τὸν πόλεμον, τοὺς μὲν εὐπόρους, ἵν' ὑπὲρ τῶν πολλῶν ὦν, καλῶς ποιοῦντες, ἔχουσι μικρ ἀναλίσκοντες τὰ λοιπὰ καρπῶνται ἀδεῶς, τοὺς δ' ἐν ἡλικίᾳ, ἵνα τὴν τοῦ πολεμεῖν ἐμπειρίαν ἐν τῇ Φιλίππου χώρᾳ κτησάμενοι φοβεροὶ φύλακες τῆς οἰκείας ἀκεραίου γένωνται, τοὺς δὲ λέγοντας, ἵν' αἱ τῶν πεπολιτευμένων αὐτοῖς εὔθυναι ῥᾴδιαι γένωνται, ὡς

NC. 1. πράξῃ S. — πλεῖον' Blass. πλέον' mss. — 6. ἡμῶν S. — 8. ζημιώσεσθαι S. ζημιωθήσεσθαι vulg. — 8. πρόσεσθ' S et vulg. Variante : προσέστ' ou προσέσται. — 9. ζημίας S. ζημία vulg. — 13. Variante : ἀδεῶς καρπῶνται. — 14. τῇ S. τῇ τοῦ vulg.

3. Ἔξω, « dehors, » ne veut pas dire ici hors du pays, mais : hors de vos maisons et de la ville. En effet, l'orateur pose le cas où il y aurait dans l'Attique une armée d'Athéniens (ὑμᾶς αὐτούς) sans la présence d'aucun ennemi.

3-4. Καὶ ὅσ(α).... λαμβάνειν. Construisez : καὶ λαμβάνειν τῶν ἐκ τῆς χώρας ὅσα ἀνάγκη (ἐστὶ) λαμβάνειν χρωμένους στρατοπέδῳ. Quant à τῶν ἐκ τῆς χώρας, pour τῶν ἐν τῇ χώρᾳ, cf. la note sur τὸν ἐκεῖθεν πόλεμον, § 15.

5. Λέγω, et je dis, et bien entendu, et cela.

6. Ἅπαντα τὸν πρὸ τοῦ πόλεμον, toute la guerre jusqu'à ce moment. Quant aux sommes dépensées pour cette guerre, cf. *Olynth.* III, § 28.

7. Πόλεμός τις ἥξει équivaut à πολέμιός (mot qu'on a proposé d'introduire dans le texte de Démosthène) τις ἥξει (εἰς τὴν Ἀττικήν). Cf. Thucydide, III, 54 : Ἥξει Δωριακὸς πόλεμος καὶ λοιμὸς ἅμ' αὐτῷ.

8-9. Τῶν πραγμάτων αἰσχύνη équivaut à ὑπὲρ τῶν πραγμάτων αἰσχύνη, *Phil.* I, § 10. — Ζημίας. Le sens de ce mot est déterminé par ζημιωθῆναι et ζημιώσεσθαι dans les phrases qui précèdent. Il ne s'agit pas de punition, mais de préjudice.

12. Καλῶς ποιοῦντες ne veut dire ni « grâce à leur bonne conduite », ni « par la faveur des dieux ». C'est un hellénisme équivalant à « et cela est très-bien, et je n'y trouve rien à redire, et je ne dis pas cela pour exciter l'envie contre eux. » Parmi les nombreux exemples rassemblés par Sauppe, citons *Midienne*, § 212 : Εἰσὶ μὲν εἰς τὰ μάλιστ' αὐτοὶ πλούσιοι, καὶ καλῶς ποιοῦσι.

13. Τοὺς δ' ἐν ἡλικίᾳ, les hommes jeunes, en âge de porter les armes.

14-15. Φύλακες.... ἀκεραίου, gardiens de la patrie, qu'ils n'auront pas laissé entamer. Sauppe rappelle le serment des éphèbes : Τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παραδώσω, πλείω δὲ καὶ ἀρείω ὅσης ἂν παραδέξωμαι. Stobée, *Anthol.*, XLIII, 48.

16. Αἱ τῶν πεπολιτευμένων αὐτοῖς εὔθυναι, la défense de leurs actes politiques. Il s'agit d'une responsabilité morale,

ὁποῖ' ἄττ' ἂν ὑμᾶς περιστῇ τὰ πράγματα, τοιοῦτοι κριταὶ καὶ τῶν πεπραγμένων αὐτοῖς ἔσεσθε. Χρηστὰ δ' εἴη παντὸς εἵνεκα.

et non de comptes à rendre, εὔθυναι, proprement dits. On sait que les orateurs n'étaient pas investis d'une magistrature, mais ne faisaient qu'user d'un droit appartenant à tout citoyen.

1. Τοιοῦτοι κριταί. Ces mots peuvent se développer ainsi : ἐὰν χαλεπὰ ὑμᾶς περιστῇ τὰ πράγματα, χαλεποὶ κριταὶ.... ἔσεσθε, ἐὰν δ' εὔκολα, εὔκολοι. Les Athéniens jugeront les actes politiques (τὰ πεπραγμένα) de leurs orateurs suivant les événements (τὰ πράγματα).

2-3. Παντὸς εἵνεκα, dans l'intérêt de chacun. Scholiaste : Διὰ πάντας, οἷον, διὰ τοὺς πλουσίους, τοὺς νεωτέρους, τοὺς ῥήτορας. Il aurait dû ajouter τοὺς ἄλλους. Si on prend παντός pour un neutre, ce qui est peut-être plus conforme à l'usage, l'orateur dira : « Pour toute espèce de motifs, » c'est-à-dire pour les motifs indiqués (afin que les riches conservent leur fortune, afin que les jeunes hommes apprennent la guerre aux dépens de l'ennemi, etc.), et pour d'autres. Quelque explication qu'on adopte, il ne faut pas perdre de vue l'enchaînement des idées et le lien qui rattache cette phrase à la période qui précède. Du reste, cp. la péroraison de la première Philippique.



ΟΛΥΝΘΙΑΚΟΣ

Β

NOTICE.

Dans cette harangue, Démosthène s'efforce de démontrer que Philippe n'est pas aussi redoutable qu'on le pense, que sa puissance, plus apparente que réelle, repose sur des fondements peu solides, et peut être ébranlée par les Athéniens pour peu qu'ils s'arrachent à leur indolence. A cette fin l'orateur examine tour à tour les rapports de Philippe avec ses alliés, les rapports de Philippe avec son peuple et ses amis, enfin les titres que le roi de Macédoine et le peuple d'Athènes peuvent avoir aux faveurs de la fortune et à la bienveillance des dieux. Chacun de ces trois points aboutit à des conseils et à des exhortations. « Agissez, agissez promptement, agissez vigoureusement » : voilà ce que Démosthène ne se lasse pas de répéter à ses concitoyens.

Exorde. Les dieux nous ont donné une marque évidente de leur bienveillance, en faisant naître une guerre implacable entre Philippe et les Olynthiens. Ce serait une honte d'abandonner les alliés et les chances que la fortune nous offre (§ 1-2).

Démosthène n'exaltera pas Philippe aux dépens des Athéniens en énumérant ses succès; il dira des choses propres à rabaisser la gloire de l'ennemi d'Athènes (§ 3-4).

I. Philippe a élevé sa puissance par la fourbe et le parjure. Par des promesses trompeuses, ou des dons insidieux, il a leurré d'abord Athènes, puis Olynthe, ensuite les Thessaliens. Aujourd'hui il est à bout de mensonges : désabusés par les faits, ses alliés se tournent contre lui (§ 5-8). Il n'est de puissance solide que celle qui est fondée sur la vérité et la justice (§ 9-10). Secourez donc les Olynthiens aussi vite que possible. Mettez-vous en rapport avec les Thessaliens mécontents de leur allié macédonien. Mais que vos paroles soient accompagnées d'actions. On n'écoutera vos ambassadeurs qu'autant qu'on vous verra faire la guerre sérieusement, de vos biens et de vos personnes (§ 11-13).

II. Dépouillée d'alliés, réduite à elle-même, la puissance de la Macédoine n'a jamais été considérable. Or Philippe l'a rendue plus pré-

caire encore par des entreprises incessantes. Les peuples ne partagent pas l'ambition du prince : ils sont fatigués de tant de guerres qui les empêchent de jouir de leurs biens et d'écouler les produits de leur travail (§ 14-16). Ses corps d'élite ne valent pas mieux que d'autres soldats. Son ambition jalouse en écarte les hommes capables, ses infâmes orgies font fuir les honnêtes gens (§ 17-19). Une guerre dans son pays même dévoilera toutes ces plaies secrètes : les Athéniens n'ont qu'à vouloir (§ 20-21).

III. Philippe est heureux. Mais la cause des Athéniens est juste, et leur fortune vaut mieux que la sienne (§ 22), s'ils veulent rivaliser d'activité avec leur adversaire (§ 23), s'ils veulent faire dans leur propre intérêt les efforts qu'ils firent jadis pour soutenir les droits des autres Grecs (§ 24), si, cessant enfin de différer, d'espérer en d'autres, de s'accuser mutuellement, de ne rien faire, ils veulent changer de conduite afin de réparer leurs pertes (§ 25-26). Il faut que les citoyens partent pour la guerre, qu'ils fassent leur devoir eux-mêmes : alors seulement ils pourront demander aux généraux de faire le leur, ils pourront mettre fin à des abus, excusables dans l'état actuel des choses. En effet, au lieu de combattre les ennemis de la République, les généraux imaginent des expéditions à leur propre profit, et ils font la piraterie, pour nourrir leurs soldats qui ne reçoivent point de paye (§ 27-28). De là des plaintes et des procès qui n'aboutissent pas. L'État est gouverné par des coteries, ayant chacune un orateur et un général pour chefs ; les charges sont réparties sans équité : ceux qui en supportent trop faiblissent et les affaires publiques se trouvent en souffrance (§ 29-30).

Péroraison. Démosthène demande trois choses : que tous les citoyens contribuent également aux frais de la guerre ; que tous servent à tour de rôle ; que dans les assemblées on écoute quiconque a quelque chose à dire, et qu'on examine le mérite des propositions, non pas l'influence du personnage.

En comparant cette harangue avec la précédente, on s'assure aisément qu'elles n'étaient pas séparées par un long intervalle de temps. L'exorde résume des considérations qui avaient été développées dans la première Olynthienne (§ 5-10), et qui n'avaient de l'à-propos que dans les commencements de la guerre d'Olynthe. Les relations entre Philippe et les Thessaliens sont présentées dans les deux discours exactement de la même manière (*Olynth.*, I, § 22 et *Olynth.*, II, § 11). D'un autre côté, l'orateur semble combattre ici un certain découragement : tous ses raisonnements tendent à convaincre le peuple qu'il pourra l'emporter sur Philippe en s'imposant des sacrifices. La guerre allait donc mal. Ce qui est dit dans les §§ 28 et 29 indique qu'on

avait des griefs contre un général, et que, dans les assemblées, il y avait lutte entre les amis de ce général et les partisans d'un autre homme de guerre.

L'histoire de ces temps, malheureusement très-mal connue, ne nous apprend rien sur les opérations de Charès. C'est par une combinaison erronée qu'on rapportait autrefois à cette époque un succès remporté par ce capitaine sur Adæos, un des lieutenants de Philippe : Thirlwall[1] a démontré que ce fait a dû être antérieur à la guerre d'Olynthe. Mais nous savons par Denys d'Halicarnasse, ou plutôt par Philochoros, que, peu de temps après l'envoi du premier secours, les Olynthiens envoyèrent à Athènes une nouvelle ambassade et obtinrent un autre secours sous la conduite de Charidème[2]. Nous savons par Aristote que Charès fut accusé de n'avoir pas fait son devoir dans la guerre d'Olynthe : il est vrai qu'il exerça deux fois le commandement pendant cette guerre, mais on est fondé à penser à sa première campagne[3]. Une allusion de Démosthène[4] me fait supposer que Charès n'ayant pas de quoi payer ses soldats, au lieu de secourir Olynthe et de faire la guerre à Philippe, s'occupa, suivant son habitude, de capturer des vaisseaux marchands. Pendant ce temps les Macédoniens auront pris dans la Chalcidique certaines villes, dont parle Diodore[5], sans doute les mêmes qui se trouvaient en péril et qu'on espérait encore sauver quand Démosthène prononça la première harangue[6]. L'orateur avoue les torts de Charès; mais il les excuse. Il veut qu'avant d'accuser le général, les citoyens lui fournissent les moyens de faire la guerre sérieusement. On a vu que les adversaires de Charès l'emportèrent, et que Charidème fut nommé à sa place. Ce discours fut peut-être prononcé quand des plaintes s'élevèrent contre Charès, et qu'il s'agissait d'envoyer un nouveau secours à Olynthe[7]. Nous sommes disposé à croire que c'était à propos de la deuxième ambassade olynthienne, laquelle, nous l'avons dit, suivit de près la première[8].

1 Voir Thirlwall, *History of Greece*, V, p. 343. A. Schæfer, *Demosthenes und seine Zeit*, I, p. 401.

2. Denys d'Halicarnasse, *l. c.* : Ἔπειτα διεξελθὼν ὀλίγ' ἄττα μεταξὺ γενόμενα τίθησι ταυτί· « Περὶ δὲ τὸν αὐτὸν χρόνον, Χαλκιδέων τῶν ἐπὶ Θρᾴκης θλιβομένων τῷ πολέμῳ καὶ πρεσβευσαμένων Ἀθήναζε, Χαρίδημον αὐτοῖς ἔπεμψαν Ἀθηναῖοι τὸν ἐν Ἑλλησπόντῳ στρατηγόν. » Philochoros, qui, dans ses Annales, suivait exactement l'ordre des temps, trouvait peu de faits à enregistrer entre le premier et le second secours : ils se suivaient donc de près.

3. Aristote, *Rhétor.* III, 10 : Κηφισόδοτος σπουδάζοντος Χάρητος εὐθύνας δοῦναι περὶ τὸν Ὀλυνθιακὸν πόλεμον ἠγανάκτει, φάσκων εἰς πνῖγμα τὸν δῆμον ἄγχοντα τὰς εὐθύνας πειρᾶσθαι δοῦναι. Céphisodote disait que Charès serrait la gorge au peuple et voulait ainsi rendre ses comptes. Ce mot s'explique, si Charès prétendait être jugé pour sa première expédition au moment même où il allait s'embarquer de nouveau, afin de porter aux Olynthiens assiégés un secours suprême. Voir Ziemann, *De bello Olynthiaco*, p. 12. A. Schæfer, II, p. 134.

4. Voy. *Olynth.* II, § 27 et 28, avec nos notes.

5. Diodore, XVI, 52.

6. *Olynth.* I, § 17.

7. Cf. *Olynth.* II, § 11.

8. Blass, III, 1, p. 278, ne partage pas cette manière de voir.

Quelques-uns[1] estiment que la seconde Olynthienne a dû précéder la première, et que ces deux harangues devraient échanger leurs noms. Mais ils s'appuient sur des considérations trop générales pour être décisives; tandis qu'en étudiant de près les faits, autant qu'on peut les connaître aujourd'hui, on trouve des arguments à l'appui de l'ordre traditionnel.

1. Stueve, *De orationum Olynth. ordine*, Osnabrück, 1830. Grote, XVII, p. 195 sqq. de la trad. franç. Quant à l'opinion de Denys, elle ne pourra être discutée que plus bas, à propos de la troisième Olynthienne.

ΟΛΥΝΘΙΑΚΟΣ

Β

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Προσήκαντο μὲν τὴν πρεσβείαν τῶν Ὀλυνθίων οἱ Ἀθηναῖοι, καὶ βοηθεῖν αὐτοῖς κεκρίκασι· μέλλουσι δὲ περὶ τὴν ἔξοδον καὶ δεδιόσιν ὡς δυσπολεμήτου τοῦ Φιλίππου, παρελθὼν ὁ Δημοσθένης πειρᾶται θαρσύνειν τὸν δῆμον, ἐπιδεικνὺς ὡς ἀσθενῆ τὰ τοῦ Μακεδόνος πράγματα. Καὶ γὰρ τοῖς συμμάχοις αὐτὸν ὕποπτον εἶναί φησι καὶ κατὰ τὴν οἰκείαν δύναμιν οὐκ ἰσχυρόν· τοὺς γὰρ Μακεδόνας ἀσθενεῖς εἶναι καθ' ἑαυτούς.

Ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι 18
τὴν παρὰ θεῶν εὔνοιαν φανερὰν γιγνομένην τῇ πόλει, οὐχ ἥκιστα δ' ἐν τοῖς παροῦσι πράγμασιν· τὸ γὰρ τοὺς πολεμήσοντας

NC. 9. γιγνομένην S. γενομένην vulg. — 10. πολεμήσοντας S. πολεμήσαντας vulg.

9. Γιγνομένην. Le participe du présent marque un fait continuel. L'aoriste γενομένην (cf. *NC.*) ne se rapporterait qu'au passé. [G. H. Schæfer.]

10. Construisez : τὸ γὰρ γεγενῆσθαι τοὺς πολεμήσοντας Φιλίππῳ, car qu'il se soit trouvé des hommes disposés à faire la guerre à Philippe. Ces mots n'impliquent pas que les Olynthiens aient commencé la guerre contre Philippe. Il a été l'agresseur; mais ils sont résolus à se défendre, à soutenir la guerre. Il ne résulte pas non plus de ces mots, que la guerre vient seulement d'éclater. Elle est déja engagée depuis quelque temps; mais la réflexion de Démosthène est rétrospective : aussi dit-il γεγενῆσθαι, et non εἶναι. Les participes qui suivent, κεκτημένους et ἔχοντας, déterminent la nature des adversaires que Philippe a rencontrés.

Φιλίππῳ γεγενῆσθαι καὶ χώραν ὅμορον καὶ δύναμίν τινα κεκτημένους, καὶ τὸ μέγιστον ἁπάντων, τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς πρῶτον μὲν ἀπίστους, εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν, δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ. [2] Δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ' ἤδη σκοπεῖν αὐτούς, ὅπως μὴ χείρους περὶ ἡμᾶς αὐτοὺς εἶναι δόξομεν τῶν ὑπαρχόντων, ὡς ἔστι τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ μόνον πόλεων καὶ τόπων ὧν ἦμέν ποτε κύριοι φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμμάχων καὶ καιρῶν.

[3] Τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι. Διὰ τί; Ὅτι μοι δοκεῖ πάνθ' ὅσ' ἂν εἴποι τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν ἔχειν φιλοτιμίαν, ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι. Ὁ μὲν γὰρ ὅσῳ πλείον' ὑπὲρ

NC. 5. Après ἀνάστασιν la vulgate ajoute εἶναι. — 6. σκοπεῖν αὐτούς. Dobree et Bekker considèrent αὐτοὺς comme une interpolation. Nous aimerions autant retrancher αὐτοὺς après ἡμᾶς. — 7. δόξομεν Bekker. δόξωμεν S et vulg. — 10. καὶ S. τε καὶ vulg. — 14. Après φιλοτιμίαν la vulgate ajoute τινά. — 15. Après ἡμῖν δ' οὐχὶ Vœmel met une virgule. Badham écarte καλῶς πεπρᾶχθαι.

1. Δύναμίν τινα, une puissance assez considérable. Scholiaste : Ἀντὶ τοῦ σύμμετρον ἢ μεγάλην. Cf. Euripide, *Électre*, 939 : Ηὔχεις τις εἶναι, tu croyais être un personnage considérable, et *passim*.

3. Διαλλαγάς. Voir la note sur τὰς καταλλαγάς, *Olynth*. I, 4.

5. Δαιμονίᾳ s'applique à toute puissance supérieure et mystérieuse, particulièrement à la fortune; θείᾳ désigne plus nettement les dieux proprement dits.

7. Τῶν ὑπαρχόντων, sous-ent. ἡμῖν, que les circonstances qui nous sont échues.

8-10. Τῶν αἰσχρῶν. Cf. τῶν ἀτοπωτάτων, *Olynth*. I, 26, avec la note. — Πόλεων καὶ τόπων, pour πόλεις καὶ τόπους, par assimilation au relatif ὧν, qui est régulièrement gouverné par κύριοι. Ces premiers génitifs amènent naturellement ceux qui suivent : τῶν.... καιρῶν. Porson et Schæfer, *ad Eurip. Or*. 1629, ont rassemblé beaucoup d'exemples de cette attraction inverse, hellénisme imité par Virgile, *Én*. I, 573 : *Urbem quam statuo, vestra est*. D'autres pensent que προΐεσθαι est ici construit avec le génitif d'après l'analogie de μεθίεσθαι. — Quant à τόπων, voir *Symmories*, § 9.

13-15. Πάνθ' ὅσ' ἂν εἴποι τις ὑπὲρ τούτων, tous les faits que l'on peut alléguer à ce sujet. Si πάντα désignait des paroles, les mots οὐχὶ καλῶς πεπρᾶχθαι ne se comprendraient pas. — Ἔχειν φιλοτιμίαν, avoir de quoi flatter son ambition. Φιλοτιμία ne désigne pas seulement la passion de l'ambition, mais aussi l'objet de cette passion, la gloire. Cf. § 16. — Ces mots semblent devoir amener l'antithèse ἡμῖν δ' ἔχειν αἰσχύνην. Si l'orateur se contente ici de laisser entendre ce blâme, et de dire en adoucissant l'expression : ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι, ce n'est pas pour ménager les Athéniens, tant s'en faut. Il réserve les mots les plus vifs et les plus amers, αἰσχύνην ὠφλήκατε, pour la fin de ce morceau, afin de laisser l'aiguillon dans l'âme de ses auditeurs.

τὴν ἀξίαν πεποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ
πᾶσι νομίζεται· ὑμεῖς δ' ὅσῳ χεῖρον ἢ προσῆκε κέχρησθε τοῖς
πράγμασι, τοσούτῳ πλείον' αἰσχύνην ὠφλήκατε. [4] Ταῦτα
μὲν οὖν παραλείψω. Καὶ γὰρ εἰ μετ' ἀληθείας τις, ὦ ἄνδρες 19
Ἀθηναῖοι, σκοποῖτο, ἐνθένδ' ἂν αὐτὸν ἴδοι μέγαν γεγενημένον,
οὐχὶ παρ' αὑτοῦ. Ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ
πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, οὐχὶ
νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν· ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, καὶ
βέλτιόν ἐστιν ἀκηκοέναι πάντας ὑμᾶς, καὶ μεγάλ', ὦ ἄνδρες
Ἀθηναῖοι, κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη βουλομένοις ὀρθῶς
δοκιμάζειν, ταῦτ' εἰπεῖν πειράσομαι.

[5] Τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι, λοιδορίαν εἶναί τις ἂν φήσειε κενὴν δικαίως· τὸ δὲ πάνθ' ὅσα πώποτ' ἔπραξε διεξιόντα, ἐφ' ἅπασι τούτοις ἐλέγχειν, καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι, καὶ δυοῖν ἕνεχ' ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι, καὶ τοὺς ὑπερεκπεπληγμένους ὡς ἄμαχόν τινα τὸν Φίλιππον ἰδεῖν ὅτι πάντα διεξελήλυθεν οἷς πρότερον παρακρουόμενος μέγας ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν τελευτὴν τὰ πράγματ' αὐτῷ. [6] Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρ' ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν τὸν Φίλιππον

NC. 7. οὐχὶ S. τούτων (ou ὑπὲρ τούτων) οὐχὶ presque tous les manuscrits, et Hermogène, III, p. 151 et 155. — 17. φλαῦρον Cobet. — καὶ τοῦ τοὺς vulg. — 19. Après μέγας la vulgate insère νῦν. — 20. αὐτῷ vulg. αὐτοῦ S. — ἐγὼ γὰρ S. ἐγὼ μὲν γὰρ vulg. — 21. Après φοβερὸν, la vulgate ajoute εἶναι.

1. Ὑπὲρ τὴν ἀξίαν. Le sens de ces mots est déterminé par leur équivalent ἢ προσῆκε dans la phrase suivante.

3. Αἰσχύνην ὠφλήκατε. Cf. p. 102, l. 11, et la note.

4. Παραλείψω. C'est presque le terme technique, παράλειψις, dont les rhéteurs grecs se servent pour désigner la figure de la prétérition.

5. Ἐνθένδ(ε), « hinc, id est ἐκ τοῦ « βήματος καὶ τῆς ἐκκλησίας.... Mercenariis oratoribus [τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις l. 6] et oscitantibus ac ignavis « auditoribus acceptam referre debet potentiam tantam, non suæ virtuti atque « industriæ. » [H. Wolf.]

6. Ὧν. Ce génitif est le complément commun de χάριν et de δίκην.

8. Ἔνι, sous-ent λέγειν.

17. Avant τοὺς ὑπερεκπεπληγμένους suppléez τοῦ. Du reste, ce participe passif gouverne l'accusatif Φίλιππον, d'après l'analogie de ὑπερφοβουμένους. Cf. Thucydide, III, 82 : Τοὺς ἐναντίους ἐκπεπληγμένος.

19. Μέγας ηὐξήθη, comme ἤρθη μέγας, § 8. Ces locutions sont plus pleines et plus expressives que μέγας ἐγένετο.

καὶ θαυμαστὸν, εἰ τὰ δίκαια πράττοντ' ἑώρων ηὐξημένον· νῦν δὲ θεωρῶν καὶ σκοπῶν εὑρίσκω τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ κατ' ἀρχὰς, ὅτ' Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε βουλομένους ὑμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν καὶ τὸ θρυλούμενόν ποτ' ἀπόρρητον ἐκεῖνο κατασκευάσαι, τούτῳ προσαγαγόμενον, [7] τὴν δ' Ὀλυνθίων φιλίαν μετὰ ταῦτα τῷ 20 Ποτείδαιαν οὖσαν ὑμετέραν ἐξελεῖν καὶ τοὺς μὲν πρότερον συμμάχους ὑμᾶς ἀδικῆσαι, παραδοῦναι δ' ἐκείνοις, Θετταλοὺς δὲ νῦν τὰ τελευταῖα τῷ Μαγνησίαν παραδώσειν ὑποσχέσθαι καὶ τὸν Φωκικὸν πόλεμον πολεμήσειν ὑπὲρ αὐτῶν ἀναδέξασθαι. Ὅλως δ' οὐδείς ἐστιν ὅντιν' οὐ πεφενάκικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων· τὴν γὰρ ἑκάστων ἄνοιαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν καὶ προσλαμβάνων, οὕτως ηὐξήθη. [8] Ὥσπερ

NC. 1. Après ἑώρων, la vulgate insère αὐτόν. — 4. ὑμῖν S. ἡμῖν vulg. — 5. καὶ τὸ S. καὶ τῷ vulg. — κατασκευάσαι S et vulg. Variante : κατασκευάσειν. — 6. προσαγαγόμενον S. προσαγόμενον vulg. — 8. ὑμᾶς S. ἡμᾶς vulg.

2. Τὴν μὲν ἡμετέραν εὐήθειαν, notre simplicité. Cet accusatif, ainsi que les accusatifs correspondants des phrases parallèles, τὴν δ' Ὀλυνθίων φιλίαν, et Θετταλούς, est le régime direct de προσαγαγόμενον, participe qui a pour sujet sous-entendu τὸν Φίλιππον.

3. Ἐνθένδε, de cette tribune. Quant aux ouvertures faites en 357 par les Olynthiens et repoussées par les Athéniens, voyez la *Notice* sur la première Philippique.

4. Τὴν Ἀμφίπολιν.... παραδώσειν. Cf. *Halonnèse*, § 27.

5. Καὶ τὸ θρυλούμενόν ποτ' ἀπόρρητον ἐκεῖνο κατασκευάσαι, et en imaginant ce fameux secret qui, dans un temps, défrayait vos conversations. Voici ce que Théopompe, cité par Photius, p. 588, disait de cette négociation secrète: Καὶ πέμπει (?) πρὸς Φίλιππον πρεσβευτὰς Ἀντιφῶντα καὶ Χαρίδημον πράξοντας καὶ περὶ φιλίας· οἳ παραγενόμενοι συμπείθειν αὐτὸν ἐπεχείρουν ἐν ἀπορρήτῳ συμπράττειν Ἀθηναίοις ὅπως ἂν λάβοιεν Ἀμφίπολιν, ὑπισχνούμενοι Πύδναν. Οἱ δὲ πρέσβεις οἱ τῶν Ἀθηναίων εἰς μὲν τὸν δῆμον οὐδὲν ἀπήγγελλον, βουλόμενοι λανθάνειν τοὺς Πυδναίους ἐκδιδόναι μέλλοντες αὐτούς, ἐν ἀπορρήτῳ δὲ μετὰ τῆς βουλῆς ἔπραττον. — Τούτῳ. Comme les mots τῷ τὴν Ἀμφίπολιν.... κατασκευάσαι précèdent le participe προσαγαγόμενον, auquel ils servent de complément, et qu'ils forment une locution complexe et longue, ils sont, pour plus de clarté, résumés par le démonstratif τούτῳ.

7. Ποτείδαιαν. Voir la *Notice*.

8. Παραδοῦναι a pour régime Ποτείδαιαν, la phrase intermédiaire καὶ.... ἀδικῆσαι n'étant qu'un développement de Ποτείδαιαν..., ἐξελεῖν.

9. Μαγνησίαν. Malgré sa promesse, Philippe, s'étant emparé de cette ville, commençait alors même à y élever des fortifications. Cp. la note sur Μαγνησίαν, *Olynth.* I, § 22.

13. Προσλαμβάνων, s'adjoignant. Le régime de ce verbe, τὴν ἄνοιαν, équivaut à τοὺς ἀνοήτους. On a vu la même métonymie au § 6 : Τὴν.... εὐήθειαν.... προσαγαγόμενον. — Οὕτως. Ce démonstratif ne fait que résumer la locution complexe τὴν.... ἄνοιαν.... προσλαμβάνων. Voir la note sur τούτῳ, l. 5.

οὖν διὰ τούτων ἤρθη μέγας, ἡνίχ' ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι πράξειν, οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων καὶ καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ' ἕνεχ' αὑτοῦ ποιῶν ἐξελήλεγκται. Καιροῦ μὲν δή, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ πράγματα· ἢ παρελθών τις ἐμοί, μᾶλλον δ' ὑμῖν δειξάτω, ἢ ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ λέγω, ἢ ὡς οἱ τὰ πρῶτ' ἐξηπατημένοι τὰ λοιπὰ πιστεύσουσιν, ἢ ὡς οἱ παρὰ τὴν αὑτῶν ἀξίαν δεδουλωμένοι Θετταλοὶ νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντ' ἄσμενοι.

[9] Καὶ μὴν εἴ τις ὑμῶν ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖται, οἴεται δὲ βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα τῷ τὰ χωρία καὶ λιμένας καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ ὀρθῶς οἴεται. Ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα συστῇ καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τοῦ πολέμου, καὶ συμπονεῖν καὶ φέρειν τὰς συμφορὰς καὶ μένειν ἐθέλουσιν ἅνθρωποι· ὅταν δ' ἐκ πλεονεξίας καὶ πονηρίας τις ὥσπερ οὗτος ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα ἅπαντ' ἀνεχαίτισε καὶ διέλυσεν. [10] Οὐ

NC. 6. ἢ avant ὡς οὐκ est omis dans S, par une simple négligence, suivant nous. Sauppe et tous les éditeurs récents ont supprimé cette particule, en prétendant qu'elle faussait le sens. Voy. la note explicative. — 7. Après πιστεύσουσιν, la vulgate insère αὐτῷ. — 13. ταὐτὰ S. ταῦτα vulg. — 15. ἅνθρωποι Bekker. ἄνθρωποι S. οἱ ἄνθρωποι vulg. — 17. καὶ διέλυσεν. Cobet veut retrancher ces mots. Pline, *Epist.* IX, 26, les lisait, et il n'est pas sûr que Doxopater (t. II, p. 232 Walz) et un autre rhéteur (t. I, p. 427 Spengel) ne les aient pas connus.

1. Διὰ τούτων. L'ensemble de la phrase indique, suivant nous, que τούτων est ici au masculin et non pas au neutre.

4. Καιροῦ. Ce génitif dépend de πρὸς τοῦτο. Quant à πρὸς τοῦτο πάρεστι, cp. la note sur παρῆσαν.... ἐπὶ τουτὶ τὸ βῆμα, *Olynth.* I, 8.

6. Ταῦτ(α). Ce mot désigne les faits allégués par Démosthène, et non, comme on l'a pensé (voir *NC.*), ses raisonnements. Démosthène dit : « Qu'on me prouve, ou bien que Philippe n'a pas trompé tous ceux auxquels il avait affaire, ou que ses anciennes dupes continueront de le croire. »

8. Δεδουλωμένοι. « Rei indignitatem « a Demosthene verbis exaggeratam esse « historia docet ; neque enim Thessalos a « Philippo servitute oppressos esse dici potest. » [Sauppe.]

16. Πρόφασις, une cause peu sérieuse Notre mot « prétexte » désigne une allégation. Le grec πρόφασις peut se rapporter aux choses elles-mêmes. Cp. le passage de Platon, que nous citerons au commencement du § 21.

17. Ἀνεχαίτισε. Ce verbe se dit au propre d'un cheval qui dresse sa crinière et se cabre, de manière à jeter son cavalier à bas. Cf. Denys d'Halicarnasse, *Archéol.* V, 15 : Οἱ ἵπποι ... ἐπὶ τοῖς ὀπισθίοις ἀνίστανται ποσὶ καὶ τοὺς ἐπιβάτας ἀναχαιτίσαντες ἀποσείονται. Pollux, I, 210 : Καὶ ἀποσείονται (τὸν ἱππότην) καὶ ἐκφέρουσι καὶ ἀναχαιτίζουσιν, ἱστάμενοι κατὰ τοὺς οὐραίους πόδας. Si on voulait

γὰρ ἔστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα καὶ ἐπιορ-
21 κοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι· ἀλλὰ τὰ
τοιαῦτ' εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδρα
γ' ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ, τῷ χρόνῳ δὲ φωρᾶται
καὶ περὶ αὑτὰ καταρρεῖ. Ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου
καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατ' εἶναι δεῖ,
οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς
καὶ δικαίας εἶναι προσήκει. Τοῦτο δ' οὐκ ἔνι νῦν ἐν τοῖς πε-
πραγμένοις Φιλίππῳ.

[11] Φημὶ δὴ δεῖν ἡμᾶς τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν, καὶ ὅπως τις λέγει κάλλιστα καὶ τάχιστα, οὕτως ἀρέσκει μοι· πρὸς δὲ Θετταλοὺς πρεσβείαν πέμπειν, ἣ τοὺς μὲν διδάξει ταῦτα, τοὺς δὲ παροξυνεῖ· καὶ γὰρ νῦν εἰσιν ἐψηφισμένοι Παγασὰς ἀπαιτεῖν καὶ περὶ Μαγνησίας λόγους ποιεῖσθαι. [12] Σκοπεῖσθε μέντοι τοῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσι μόνον οἱ παρ' ἡμῶν πρέσβεις, ἀλλὰ καὶ ἔργον τι δεικνύειν ἕξουσιν ἐξεληλυθότων ὑμῶν ἀξίως τῆς πόλεως καὶ ὄντων ἐπὶ τοῖς πρά-

NC. 10. ἡμᾶς S. ὑμᾶς ἅμα vulg. — 17. ὑμῶν S et vulg. Variante : ἡμῶν.

développer le trope, on pourrait dire : il suffit du moindre heurt (πταῖσμα) pour faire cabrer tous ces peuples qui portent le joug en frémissant et pour renverser le char de Philippe. Mais l'orateur indique cette image rapidement par un seul mot, et il se hâte d'ajouter le terme propre διέλυσεν. Cf. note sur *Cour*. 72 : Ζώντων καὶ ὄντων.

4. Ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν. On peut sous-entendre l'antithèse ἀλλ' οὐκ ἐπὶ τοῖς ἔργοις. « Ils fleurissent, ils sont exaltés, parce qu'on s'attend à un avenir brillant. »

5. Καταρρεῖ, *defluunt*, est préparé par ἤνθησεν. Car καταρρεῖν se dit des fleurs fanées qui tombent en s'effeuillant. Hermogène, *De formis or*. II, 6 (t. III, p. 327 Walz) s'exprime ainsi sur ce passage : Τὸ γὰρ ἤνθησε τροπικὸν μέν, οὐ μὴν αὐστηρὸν οὐδὲ σκληρόν, τὸ δὲ καταρρεῖ σκληρὸν ἰσχυρῶς, οὐ μὴν τοιοῦτον ἐφάνη διὰ τὸ ἐξ ἀκολουθίας εἰρῆσθαι. Ἐπὶ γὰρ τῶν ἀνθέων τῶν μαραινομένων τὸ καταρρεῖν σχεδὸν κυρίως λέγεται.

7. Τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις, les principes sur lesquels reposent les actions. Il faut se souvenir ici du sens étymologique du mot ὑποθέσεις, sans toutefois le regarder, avec le scholiaste, comme équivalant à τὰς κρηπῖδας καὶ τοὺς θεμελίους. Cf. *Olynth*. III, 2 : Πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι.

11. Κάλλιστα καὶ τάχιστα, sous-ent. βοηθεῖν.

12-13. Τοὺς μὲν.... παροξυνεῖ. Scholiaste : Εἰς δύο γὰρ μερίζει τοὺς Θετταλούς, εἰς ἀγνοοῦντας τὸν Φίλιππον, καὶ εἰδότας μέν, δεδιότας δέ.

14. Περὶ Μαγνησίας. Cf. *Olynth*. I, 22, où l'objet des pourparlers est plus nettement indiqué.

16. Δεικνύειν. Cette forme se trouve quelquefois chez les auteurs attiques. Ici Démosthène l'aura préférée à δεικνύναι, afin d'éviter l'hiatus.

17. Ὄντων ἐπὶ τοῖς πράγμασιν. Cf. *Rhodiens*, § 11 : Τῆς πόλεως οὔσης ἐπὶ τῶν πραγμάτων, et la note.

γμασιν, ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενόν, μάλιστα δ' ο παρὰ τῆς ἡμετέρας πόλεως· ὅσῳ γὰρ ἑτοιμότατ' αὐτῷ δοκοῦμεν χρῆσθαι, τοσούτῳ μᾶλλον ἀπιστοῦσι πάντες αὐτῷ. [13] Πολλὴν δὴ τὴν μετάστασιν καὶ μεγάλην δεικτέον [τὴν μεταβολὴν], εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας ἑτοίμως, εἴπερ τις ὑμῖν προσέξει τὸν νοῦν. Κἂν ταῦτ' ἐθελήσηθ' ὡς προσήκει καὶ δὴ περαίνειν, οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ ἀσθενῶς καὶ ἀπίστως ἔχοντα φανήσεται Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας ἀρχῆς καὶ 22 δυνάμεως κακῶς ἔχοντ' ἐξελεγχθήσεται.

[14] Ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχὴ ἐν μὲν προσθήκῃ μερίς ἐστί τις οὐ μικρά, οἷον ὑπῆρξέ ποθ' ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους· πάλιν αὖ πρὸς Ποτείδαιαν Ὀλυνθίοις ἐφάνη τι τοῦτο συναμφότερον, νυνὶ δὲ Θετταλοῖς στασιά-

NC. 3. Cobet ὅσῳ καί, en supprimant τοσούτῳ... αὐτῷ. Cf. XI, 23. — Var. : ἑτοιμότερον. — 5. [τὴν μεταβολὴν] Cobet. — 7. καὶ δὴ Dindorf et Vœmel. καὶ δει, avec un η, de première main, au-dessus de ει, S seul. καὶ δεῖ vulg. — περαίνειν (παραινεῖν de première main) S. — 12. ἐν μὲν προσθηκηι μερις S. ἐν μὲν προσθήκης μέρει vulg., et XI, § 8. La leçon des meilleurs manuscrits reçoit une confirmation indirecte par le passage cité ci-dessous du rhéteur Aristide, lecteur assidu et imitateur de Démosthène. — 14. τἀπὸ συναμφοτέρων Tournier. — νυνὶ δὲ vulg. νυνὶ S seul, de première main. — Avant στασιάζουσι la vulgate insère νοσοῦσι καὶ, interpolation tirée de *Phil.* III, § 12.

3. Ὅσῳ γὰρ ἑτοιμότατ(α).... τοσούτῳ μᾶλλον. Dans le premier membre de phrase, le superlatif est mis pour le comparatif. Franke rend cette nuance par la périphrase : ὅσῳ πάντων διαφέρετε ἐπὶ τῷ ἑτοίμως λέγειν, et il cite Cicéron, *De amic.* V, 19 : *Ut inter omnes esset societas quædam, major autem, ut quisque proxume accederet.* Cf. Démosthène, *Contre Polyclès*, § 15.

6. Εἴπερ.... προσέξει : équivalent à προσέχειν μέλλει, « si vous voulez qu'on tienne encore compte de vos paroles. » On cite Sophocle, *OEd. Roi*, 54 : Ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς, Ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν, et d'autres passages.

7. Καὶ δή. Démosthène insiste sur la nécessité d'exécuter tout de suite et sans perdre de temps ce qu'on aura décrété.

12. Ἐν.... προσθήκῃ : équivalent à ἐν προσθήκης μέρει, comme accessoire, comme appoint, comme auxiliaire. Cf. Aristide, *Leuctricus*, II, t. I, p. 663 Dind. : Οὐκοῦν ἐν προσθήκῃ γενέσθων, ἡμεῖς δὲ ἀναδεξώμεθα τὴν προστασίαν. Sophocle, *Phil.* 473 : Ἐν παρέργῳ θοῦ με. [Passages signalés par Rehdantz.] — Μερίς, secours. Cf. *Midienne*, § 184 : Ἔστιν.... μεγάλη τοῖς ἀδικοῦσιν ἅπασι μερὶς καὶ πλεονεξία ἡ τῶν ὑμετέρων τρόπων πραότης. Cp. *Ib.* § 70.

13-14. Ἐπὶ Τιμοθέου, du temps de Timothée. En 364, ce général athénien fit, avec Perdiccas de Macédoine, la guerre à la confédération Olynthienne, et prit Toroné, Potidée et d'autres villes encore. Cf. Diodore, XV, 81. Polyen, III, x, 14, et IV, x, 2. — Πρὸς Ποτείδαιαν Ὀλυνθίοις. Cf. § 7. — Ἐφάνη τι τοῦτο συναμφότερον, cette puissance (la puissance Macédonienne) se montra de quelque valeur étant alliée à la leur. Quant à τι, cf. δύναμίν τινα, § 1. Συναμφότερον est

ζουσι καὶ τεταραγμένοις ἐπὶ τὴν τυραννικὴν οἰκίαν [ἐβοήθησεν]· καὶ ὅποι τις ἄν, οἶμαι, προσθῇ κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ. Αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστι μεστή. [15] Καὶ γὰρ οὗτος ἅπασι τούτοις, οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις καὶ ταῖς στρατείαις, ἔτ' ἐπισφαλεστέραν ἢ ὑπῆρχε φύσει κατεσκεύακεν αὑτῷ. Μὴ γὰρ οἴεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν καὶ τοὺς ἀρχομένους· ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ καὶ τοῦτ' ἐζήλωκεν, καὶ προήρηται πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι, παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦθ', ἃ μηδεὶς πώποτ' ἄλλος Μακεδόνων βασιλεύς, δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος· [16] τοῖς δὲ τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι, κοπτόμενοι δ' ἀεὶ ταῖς στρατείαις ταύταις ταῖς ἄνω κάτω λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν, οὔτ' ἐπὶ τοῖς ἔργοις οὔτ' ἐπὶ τοῖς αὑτῶν ἰδίοις ἐώμενοι διατρίβειν, οὔθ' ὅσ' ἂν ποιήσωσιν οὕτως

NC. 1. Mss : ἐβοηθησαν, corrigé en ἐβοήθησεν. J'écarte ce mot, qui obscurcit le sens. — 2. καὶ, avant ὅποι, est omis dans S seul. — 6. ἐπισφαλεστέραν αὑτὴν vulg. — 8. ἐζήλωκεν S. ἐζήλωκε vulg. — 13. ἄνω κάτω S. ἄνω τε καὶ κάτω vulg. — 15. πορίσωσιν vulg.

expliqué par le scholiaste : σὺν ἄλλῳ τινὶ γενόμενον. Madvig, *Adversaria critica*, I, p. 456, veut que l'on mette un point en haut avant ἐφάνη.

1. Ἐπὶ τὴν τυραννικὴν οἰκίαν. Les tyrans de Phères, Lycophron et Pitholas. Voir la *Notice* sur la première Philippique.

2. Πάντ(α). Nous pensons, avec Sauppe, que ce mot est ici le sujet de ὠφελεῖ. « Tout (toute puissance, quelque petite qu'elle soit) est utile. » Sentence générale.

5-6. Ἐπισφαλεστέραν. Entendez : τὴν Μακεδονικὴν δύναμιν καὶ ἀρχήν.

8. Τοῦτ' ἐζήλωκεν, telle est son ambition. Le neutre τοῦτο se rapporte au féminin δόξα ou, si l'on aime mieux, à l'idée contenue dans ce substantif (τὸ ἔνδοξον γενέσθαι). Le neutre généralise, et cette construction est analogue à l'hellénisme connu ἡ δόξα ἐστὶ καλόν. Cf. Πρόνοιαν ἐποιεῖτο.... τῆς πολιτείας, καὶ.... περὶ τούτου.... ἐσπούδαζεν, *Androt.* § 30, où Funkhænel a recueilli d'autres exemples de cet emploi du neutre, lequel n'est point particulier à Démosthène. — En liant τοῦτ' ἐζήλωκε (cf. *NC.*) καὶ προήρηται, et en considérant τοῦτο comme l'antécédent de παθεῖν, on fait dire à Démosthène que Philippe a l'ambition d'essuyer tous les malheurs qui peuvent lui arriver : ce qui est fort étrange. L'orateur semble s'être servi de la forme pleine ἐζήλωκεν pour marquer un repos de voix après ce verbe.

10-11. Τὴν.... δόξαν. Placés au commencement et à la fin d'une locution complexe, l'article et son substantif la rassemblent en faisceau et en marquent l'unité. — Μηδείς, et non οὐδείς, parce que l'orateur rapporte le sentiment de Philippe.

14. Οὔτ' ἐπὶ τοῖς ἔργοις. Le mot ἔργα désigne ici les travaux producteurs, l'industrie et surtout l'agriculture. — Οὔτ' ἐπὶ τοῖς αὑτῶν ἰδίοις, ni (en général) près de leurs propres affaires. Il n'y a pas d'antithèse : car les ἔργα rentrent dans les αὑτῶν ἴδια. Cf. Euripide, *Oreste*, 1647 : Ἀζᾶσιν Ἀρκάσιν τε, « aux Azaniens et aux (autres) Arcadiens » : passage à propos duquel le scholiaste dit : Τῷ μερικῷ τὸ ὅλον ἐπήγαγεν.

15. Ὅσ' ἂν ποιήσωσιν, le peu qu'ils pourront produire. Le verbe ποιεῖν, cor-

ὅπως ἂν δύνωνται, ταῦτ' ἔχοντες διαθέσθαι κεκλειμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. [17] Οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις 23 σκέψαιτ' οὐ χαλεπῶς· οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι καὶ πεζέταιροι δόξαν μὲν ἔχουσιν ὡς εἰσὶ θαυμαστοὶ καὶ συγκεκροτημένοι τὰ τοῦ πολέμου, ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους. [18] Εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτὸν ἔφη, βουλόμενον πάνθ' αὑτοῦ δοκεῖν εἶναι τὰ ἔργα (πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ τὴν φιλοτιμίαν ἀνυπέρβλητον εἶναι)· εἰ δέ τις σώφρων ἢ δίκαιος ἄλλως,

NC. 5. πεζέταιροι quelques manuscrits. πεζαίτεροι vulg. et S (αι y est écrit au-dessus d'une lacune laissée entre ζ et τ). — 11-12. Après τὴν φιλοτιμίαν la vulgate ajoute τἀνδρός. — 12-1. ἄλλως, τὴν manuscrits. ἄλλως τε τὴν, conjecture de Dœderlein, que Dindorf n'aurait pas dû adopter.

respondant à τοῖς ἔργοις, s'applique souvent à la production agricole. Cf. Aristophane, *Paix*, 1322 : Κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς πάντας ὁμοίως οἶνόν τε πολύν, et d'autres passages cités par les interprètes. La variante (glose) πορίσωσιν donne le même sens. Il ne s'agit pas le moins du monde de butin. Cela ressort clairement des mots suivants : οὕτως ὅπως ἂν δύνωνται, « misere, ærumnose, quantam quidem licet « per stipendia continua. » [G. H. Schæfer.]

1. Διαθέσθαι équivaut à πωλῆσαι, ἀποδόσθαι. [Schol.]

5-6. Πεζέταιροι, la garde à pied, corps composé de Macédoniens (Démosthène leur oppose les ξένοι) et faisant un service permanent. L'ensemble de ce passage montre clairement qu'il ne s'agit pas de toute la phalange macédonienne. Scholiaste : Θεόπομπός φησιν ὅτι ἐκ πάντων τῶν Μακεδόνων ἐπίλεκτοι οἱ μέγιστοι καὶ ἰσχυρότατοι ἐδορυφόρουν τὸν βασιλέα καὶ ἐκαλοῦντο πεζέταιροι. Harpocration : Ἀναξιμένης ἐν α' Φιλιππικῶν περὶ Ἀλεξάνδρου (le frère de Philippe) λέγων φησίν· « Ἔπειτα τοὺς μὲν ἐνδοξοτάτους ἱππεύειν συνεθίσας ἑταίρους προσηγόρευσε, τοὺς δὲ πλείστους καὶ τοὺς πεζοὺς ἐς λόχους καὶ δεκάδας καὶ τὰς ἄλλας ἀρχὰς διελὼν πεζεταίρους ὠνόμασεν, ὅπως ἑκάτεροι μετέχοντες τῆς βασιλικῆς ἑταιρίας προθυμότατοι διατελῶσιν ὄντες. » D'après ce dernier passage, les πεζέταιροι commandaient les divisions et subdivisions de l'armée, étaient lochages, décadarques. etc. — Συγκεκροτημένοι, habitués à agir de concert, formés à la discipline.

8. Οὐδένων εἰσὶ βελτίους, ne valent pas mieux qu'aucun autre corps de soldats. Cf. *Olynth.* I, 9 : Οὐδενός ἐστιν ἐλάττων. *Ib.* § 27 : Οὐδεμιᾶς ἐλάττων ζημίας.

9. Οἷος ἔμπειρος, possédant ce qui constitue l'homme habile. Cf. Aristophane, *Guêpes*, 970 : Ὁ δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον. — Τούτους se rapporte à l'idée de pluralité renfermée dans τις. Hellénisme usuel. Cf. Euripide, *Hipp.* 79 : Ὅστις.... ἐν τῇ φύσει τὸ σωφρονεῖν εἴληχεν..., τούτοις δρέπεσθαι.

11. Πρὸς γὰρ αὖ τοῖς ἄλλοις, car encore (αὖ) outre tout le reste, outre ses autres défauts.

12. Ἄλλως, autrement, c.-à-d. : abstraction faite des talents militaires dont il vient d'être question. Cette explication est celle de Sauppe. Le scholiaste prête à Démosthène une doctrine philosophique : ὡς καὶ τοῦ σώφρονος δικαίου ὄντος τοῦτό φησιν.

τὴν καθ' ἡμέραν ἀκρασίαν τοῦ βίου καὶ μέθην καὶ κορδακισμοὺς οὐ δυνάμενος φέρειν, παρεῶσθαι καὶ ἐν οὐδενὸς εἶναι μέρει τὸν τοιοῦτον. [19] Λοιποὺς δὴ περὶ αὐτὸν εἶναι λῃστὰς καὶ κόλακας καὶ τοιούτους ἀνθρώπους οἵους μεθυσθέντας ὀρχεῖσθαι τοιαῦθ' οἷ' ἐγὼ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι. Δῆλον δ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ· καὶ γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον ὡς πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέρους ὄντας, Καλλίαν ἐκεῖνον τὸν δημόσιον καὶ τοιούτους ἀνθρώπους, μίμους γελοίων καὶ

NC. 1-2. κορδακισμούς. Je ne sais si le mot σκορακίζεται, qu'on lit dans le passage correspondant du discours *Sur la lettre de Philippe* (§ 11), n'indique pas qu'il y avait ici une ancienne variante : σκορακισμούς. — παρεῶσθαι S et tous les bons manuscrits. παρεωρᾶσθαι vulg. — 4. καί, après κολάκας, omis dans quelques manuscrits, est inséré dans S après coup, mais de première main.

1-2. Τὴν καθ' ἡμέραν.... κορδακισμούς. Ce dernier mot désigne des danses lascives qu'on ne se permettait guère en dehors des chœurs masqués des fêtes de Bacchus : voir Théophraste, *Caract.* 6. Quant à l'ensemble du tableau, on ne saurait accuser Démosthène d'en avoir chargé les couleurs. L'historien Théopompe, grand admirateur de Philippe, a flétri les mœurs de ce prince et de son entourage dans un langage encore plus vif. Voir le morceau cité par Athénée, V, p. 260 B : Ἦν δὲ (Φίλιππος) καὶ φύσει βωμολόχος καὶ καθ' ἑκάστην ἡμέραν μεθυσκόμενος κτέ. Cf. Polybe, VIII, 11. — Ἐν οὐδενὸς εἶναι μέρει, n'être compté pour rien.

3-4. Λοιποὺς δὴ περὶ αὐτὸν εἶναι, il ne reste donc, me dit-il, autour de Philippe que.... Ne traduisez pas comme s'il y avait τοὺς λοιποὺς τοὺς περὶ αὐτόν. — Λῃστάς, des brigands, et non des soldats. — Κόλακας, des flatteurs, des parasites. Cf. Théopompe chez Athénée, IV, 167 B : Εἴ τις ἦν λάσταυρος ἢ βδελυρὸς ἢ θρασὺς τὸν τρόπον, οὗτοι σχεδὸν ἅπαντες εἰς Μακεδονίαν ἀθροισθέντες ἑταῖροι Φιλίππου προσηγορεύοντο (le même Théopompe, d'après Polybe, *l. c.*, disait de ces hommes : Δικαίως ἄν τις αὐτοὺς οὐχ ἑταίρους, ἀλλ' ἑταίρας, ὑπελάμβανεν εἶναι).... Οἱ πόλεμοι καὶ αἱ στρατεῖαι καὶ αἱ πολυτέλειαι θρασεῖς αὐτοὺς εἶναι προετρέποντο καὶ ζῆν μὴ κοσμίως ἀλλ' ἀσώτως καὶ τοῖς λῃσταῖς παραπλησίως. Quant aux flatteurs et parasites, Sauppe en a signalé deux, Thrasydée, Thessalien, et Agathocle, serf Perrhébien, chargés par Philippe de gouverner leurs compatriotes. Voir Théopompe chez Athénée, VI, p. 249 C. et p. 260 A. On lit dans ce dernier passage : Ἀγαθοκλέα.... Φίλιππος μέγα παρ' αὐτῷ δυνάμενον διὰ τὴν κολακείαν καὶ ὅτι ἐν τοῖς συμποσίοις συνὼν αὐτῷ ὠρχεῖτο καὶ γέλωτα παρεσκεύαζεν, ἀπέστειλε διαφθεροῦντα Περραιβοὺς καὶ τῶν ἐκεῖ πραγμάτων ἐπιμελησόμενον. Τοιούτους δ' εἶχεν ἀεὶ περὶ αὐτὸν ἀνθρώπους ὁ Μακεδών, οἷς διὰ φιλοποσίαν καὶ βωμολοχίαν πλείω χρόνον ὡς τὰ πολλὰ συνδιέτριβε καὶ συνήδρευε περὶ τῶν μεγίστων βουλευόμενος.

6. Οὓς ἐνθένδε πάντες ἀπήλαυνον. Le scholiaste entend à tort une sentence de bannissement. Démosthène parle de gens qui se virent obligés de quitter Athènes, parce que personne ne voulait d'eux.

7. Θαυματοποιῶν. Des jongleurs ambulants, des prestidigitateurs.

8. Τὸν δημόσιον. Les esclaves publics étaient employés, soit à des écritures (cf. *Chersonèse*, 47; *Ambassade*, 129; *Midienne*, 70), soit à d'autres fonctions. — Μίμους γελοίων. Des bouffons qui amusaient par des charges bonnes ou mauvaises. Athénée a conservé le souvenir des plus fameux parmi ces γελωτοποιοί, I p. 19 F, et *passim*. — Le même Athénée (xiv, p. 614 D) rapporte une anecdote qui montre combien Philippe aimait les facéties, et qui est rappelée à propos par

ποιητὰς αἰσχρῶν ᾀσμάτων ὧν εἰς τοὺς συνόντας ποιοῦσιν ἕνεκα
τοῦ γελασθῆναι, τούτους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει. [20] Καί-
τοι ταῦτα, καὶ εἰ μικρά τις ἡγεῖται, μεγάλ', ὦ ἄνδρες
Ἀθηναῖοι, δείγματα τῆς ἐκείνου γνώμης καὶ κακοδαιμονίας
ἐστὶ τοῖς εὖ φρονοῦσιν. Ἀλλ', οἶμαι, νῦν μὲν ἐπισκοτεῖ τού-
τοις τὸ κατορθοῦν· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι τὰ τοιαῦτ'
ὀνείδη· εἰ δέ τι πταίσει, τότ' ἀκριβῶς αὐτοῦ ταῦτ' ἐξετασθή-
σεται. Δοκεῖ δ' ἔμοιγ', ὦ ἄνδρες Ἀθηναῖοι, δείξειν οὐκ εἰς μα- 24
κρὰν, ἂν οἵ τε θεοὶ θέλωσι καὶ ὑμεῖς βούλησθε. [21] Ὥσπερ γὰρ
ἐν τοῖς σώμασιν, τέως μὲν ἂν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθά-
νεται, ἐπὰν δ' ἀρρώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα

KC. 1-2. ὧν.... γελασθῆναι. Herwerden veut que ces mots soient interpolés. — 3. καὶ εἰ S. εἰ καὶ vulg. — 6. συγκρύψαι S. συγκρύψαι καὶ συσκιάσαι vulg. La glose συσκιάσαι, suggérée sans doute par ἐπισκοτεῖ, est ancienne. Le texte du rhéteur Théon, t. I, p. 200 Walz, la porte déjà. Elle se trouve aussi dans le discours *Sur la lettre de Philippe*, § 13, et dans les auteurs qui se sont servis de ce dernier discours : Sénèque, *Controv.* IX, 24, p. 273 Bip., p. 249 Bursian, et Stobée, *Anthol.* CVI, 13. Sénèque le Rhéteur attribue à Thucydide ce passage qu'il cite de mémoire et inexactement. — 7. πταίσει. Variante : πταίσεις. — ταῦτ'. Variantes : πάντ', ou ταῦτα πάντ'. — 10-11. Après σώμασιν la vulg. ajoute ἡμῶν. — ἐπαισθάνεται S seul (de première main). ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν vulg.

les derniers commentateurs de Démosthène. Il y avait à Athènes un temple d'Hercule où se réunissaient des farceurs de profession, formant une espèce de collége de soixante membres. Philippe leur envoya un talent pour qu'on lui adressât régulièrement le procès-verbal de leurs bons mots (ἵν' ἐγγραφόμενοι τὰ γελοῖα πέμπωσιν αὐτῷ).

4. Κακοδαιμονίας, misère, perversité, folie, d'un homme abandonné des dieux. Cf. *Chersonèse*, 16 : Κακοδαιμονοῦσι.... καὶ ὑπερβάλλουσιν ἀνοίᾳ.

6-7. Εὐπραξίαι.... πταίσει. On cite l'imitation de Salluste (fragment des *Histoires*, discours de Lépide, § 10) : « Secundæ res « mire sunt vitiis obtentui; quibus labe- « factis, quam formidatus est, tam con- « temnetur. » — Ἐξετασθήσεται équivaut à ἐλεγχθήσεται (schol.), διακαλυφθήσεται (*Contre la lettre de Phil.* § 13).

8. Δείξειν, que cela se montrera. Les verbes δεικνύναι, δηλοῦν, σημαίνειν sont quelquefois employés impersonnellement. On cite Aristophane, *Guêpes*, 988 : Δείξειν ἔοικεν. *Gren.* 1261 : Δείξει δὴ τάχα.

9-10. Ὥσπερ γὰρ ἐν τοῖς σώμασιν. « Respublicas earumque statum sæpissime « veteres cum corpore ejusque vel sanitate « vel morbis comparare solent. Cf. Plato, « *Reip.* VIII, p. 556 E : Οὐκοῦν ὥσπερ « σῶμα νοσῶδες μικρᾶς ῥοπῆς ἔξωθεν « δεῖται προσλαβέσθαι πρὸς τὸ κάμνειν..., « οὕτω δὴ καὶ ἡ κατὰ ταὐτὰ ἐκείνῳ « διακειμένη πόλις ἀπὸ σμικρᾶς προ- « φάσεως.... νοσεῖ τε καὶ αὐτὴ αὑτῇ « μάχεται. » [Sauppe.] — Τέως, pour le relatif ἕως. Cf. *Symmories*, § 36.

11. Κινεῖται, se remue, se réveille. Cp. le proverbe μὴ κινεῖν κακὸν εὖ κείμενον, ne pas réveiller le chat qui dort. — Ῥῆγμα est une brisure ou une déchirure. Στρέμμα est une luxation. Scholiaste : Ῥῆγμα μὲν οἱ ἰατροί φασιν ἀγγείου τινὸς ῥῆξιν, οἷον φλεβὸς ἢ ἀρτηρίας [définition trop étroite], στρέμμα δὲ ἄρθρου παράβασιν· τινὲς δὲ ῥῆγμα μὲν νεύρου διάτασιν [c'est la définition de σπάσμα],

κἂν στρέμμα κἂν ἄλλο τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ, οὕτω καὶ τῶν πόλεων καὶ τῶν τυράννων, ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστιν, ἐπειδὰν δ' ὅμορος πόλεμος συμπλακῇ, πάντ' ἐποίησεν ἔκδηλα.

[22] Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦνθ' ὁρῶν ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ τὸ ὅλον ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· οὐ μὴν ἀλλ' ἔγωγε, εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ προσήκει ποιεῖν ὑμῶν αὐτῶν καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ὑμῖν ἐνούσας ἢ 'κείνῳ. [23] Ἀλλ', οἶμαι, καθήμεθ' οὐδὲν ποιοῦντες· οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντ' οὐδὲ τοῖς φίλοις ἐπιτάττειν ὑπὲρ αὑτοῦ τι ποιεῖν, μή τί γε δὴ τοῖς θεοῖς. Οὐ δὴ θαυμαστόν ἐστιν, εἰ στρατευόμενος καὶ πονῶν ἐκεῖνος αὐτὸς καὶ παρὼν ἐφ' ἅπασι καὶ μηδένα καιρὸν μηδ' ὥραν παραλείπων ἡμῶν μελλόντων

NC. 7. Pour λογισμῷ, le texte de Denys, *De adm. vi*, 43 (p. 1089 Reiske), porte προνοίᾳ. Voir *Sur la lettre de Philippe*, § 15. — 8. τὸ ὅλον vulg. et *Sur la lettre*, § 15. ὅλον S et Denys, *l. c.* Cette dernière leçon a été donnée par Vœmel et d'autres. Cependant ὅλον peut-il se dire pour τὸ ὅλον ou pour πάντα? On lit dans le premier discours contre Aristogiton, § 32 : Οὐχ ὁρᾶθ' ὅτι τῆς φύσεως αὐτοῦ καὶ πολιτείας... ἀπόνοια ἡγεῖται; μᾶλλον δ' ὅλον ἐστιν ἀπόνοια ἡ τούτου πολιτεία. Ici ὅλον est un accusatif adverbial, et il en est de même dans tous les autres passages qu'on a cités pour justifier l'absence de l'article. Rehdantz sous-entend ῥοπή. Mais ὅλον ῥοπὴ ἡ τύχη signifierait « fortuna tota est momentum. » Ce n'est pas là ce que l'orateur veut dire. — 9. δωιη S. — 11 αὐτῶν, après ὑμῶν, manque dans le texte de Denys. — 12. ὑμῖν S. ἡμῖν vulg. — 13. οὔσας Cobet. — 17. μηδὲ καιρὸν S.

στρέμμα δὲ ὀστέου μετάστασιν. Cf. *Couronne*, § 198 : Ὥσπερ τὰ ῥήγματα καὶ τὰ σπάσματα ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται.

1. Τῶν ὑπαρχόντων, des infirmités qui existent.

4. Συμπλακῇ : terme de palestre désignant une lutte corps à corps. Cf. *Phil.* III, § 51, où, en parlant d'une guerre à soutenir dans l'Attique même, l'orateur dit συμπλακέντας διαγωνίζεσθαι.

6. Ταύτῃ équivaut ici à κατὰ τοῦτο.

10. Ἐθελόντων.... ποιεῖν ὑμῶν αὐτῶν équivaut à ἐθελόντων ὑμῶν ποιεῖν αὐτῶν.

11. Καὶ κατὰ μικρόν, tant soit peu. Il ne faut pas sous-entendre χρόνον.

14. Αὐτὸν ἀργοῦντ(α). Sous-ent. τινά. Quant à la pensée, elle se retrouve chez plus d'un auteur. Comme Salluste aime à imiter Démosthène, on peut croire qu'il s'est souvenu de ce passage en écrivant : « Ubi socordiæ te atque ignaviæ tradideris, nequidquam deos implores. » (*Catil.* 52.)

17. Ὥραν a ici le sens précis de « saison ».

καὶ ψηφιζομένων καὶ πυνθανομένων περιγίγνεται. Οὐδὲ θαυμάζω τοῦτ' ἐγώ· τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει τοῦ πάντα ποιοῦντος περιῆμεν. [24] Ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις μέν 25
ποτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων ἀντήρατε, καὶ πόλλ' ἰδίᾳ πλεονεκτῆσαι πολλάκις ὑμῖν ἐξὸν οὐκ ἠθελήσατε, ἀλλ' ἵν' οἱ ἄλλοι τύχωσι τῶν δικαίων, τὰ ὑμέτερ' αὐτῶν ἀνηλίσκετ' εἰσφέροντες καὶ προυκινδυνεύετε στρατευόμενοι, νυνὶ δ' ὀκνεῖτ' ἐξιέναι καὶ μέλλετ' εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων, καὶ τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις πάντας καὶ καθ' ἕν' αὐτῶν ἐν μέρει, τὰ δ' ὑμέτερ' αὐτῶν ἀπολωλεκότες κάθησθε. [25] Ταῦτα θαυμάζω, καὶ ἔτι πρὸς τούτοις, εἰ μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δύναται λογίσασθαι πόσον πολεμεῖτε χρόνον Φιλίππῳ, καὶ τί ποιούντων ὑμῶν ὁ χρόνος διελήλυθεν οὗτος. Ἴστε γὰρ δήπου τοῦθ', ὅτι μελλόντων αὐτῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, σχεδὸν ταὔθ' ἅπερ νυνὶ

NC. 3. ποιοῦντος S (de première main) seul. ποιοῦντος ἃ δεῖ vulg. — 11. καὶ avant καθ' est omis dans S. — Après ἕνα αὐτῶν la vulgate ajoute ἕκαστον. — 13. μηδεὶς S. μηδὲ εἷς vulg. — 14-16. ὁ χρόνος S seul. ὁ χρόνος ἅπας vulg. Ἅπας est à sa place à la page 150, ligne 1. — μελλόντων αὐτῶν S seul. μελλόντων ὑμῶν vulg. μελλόντων Cobet. — 17. ταὐτὰ Mounteney. ταῦτα manuscrits.

Cf. *Phil.* I, § 31. *Contre la lettre de Ph.* § 17 : Οὔτε καιρὸν παριεὶς οὔθ' ὥραν ἔτους παραλείπων οὐδεμίαν : paraphrase de notre passage.

1. Πυνθανομένων : suppléez εἴ τι λέγεται νεώτερον. Cf. *ib.* et *Phil.* I, § 10.

4-5. Λακεδαιμονίοις μέν ποτ(ε). Du temps de la guerre béotienne, ou bien de la guerre de Corinthe. Il est difficile de se prononcer pour l'une ou pour l'autre. Voir la note sur *Phil.* I, § 3.

7. Ἵν(α).... τύχωσι. D'après la règle latine et française, on s'attend à τύχοιεν. Mais les Grecs sont plus libres dans l'emploi des modes. La distinction qu'on a voulu établir entre l'optatif et le subjonctif dans les propositions finales (voir Krüger, *Gr. gr.* 54, 8, 2) sont bien délicates, bien subtiles. Cf. *Contre Timothée*, 14 : Δανείζεται χιλίας δραχμάς..., ἵνα διαδοίη τοῖς Βοιωτίοις τριηράρχοις καὶ παραμένωσιν ἕως ἂν αὐτῷ ἡ κρίσις γένηται.

7. Τῶν δικαίων. On voit que τῶν Ἑλληνικῶν δικαίων, l. 5, désigne les droits des autres Grecs.

9-10. Ὑπὲρ.... κτημάτων : les villes que les Athéniens avaient perdues dans le cours de la guerre. C'est dans leur propre intérêt qu'ils doivent secourir Olynthe.

11. Καθ' ἕν(α) αὐτῶν. Il n'est pas nécessaire d'ajouter ἕκαστον. Cf. καθ' ἕκαστον τούτων, *Phil.* I, § 20.

12. Κάθησθε, vous restez dans l'inaction, vous vous croisez les bras. Cf. § 23 : Καθήμεθ' οὐδὲν ποιοῦντες.

15-16. Μελλόντων αὐτῶν. Ce dernier mot est ajouté pour faire antithèse à ἑτέρους τινάς. — Ἑτέρους.... πράξειν. Cf. *Phil.* I, § 50.

17. Κρινόντων. Cf. *Phil.* I, § 47. — Πάλιν ἐλπιζόντων. Scholiaste · Οἱ γὰρ στρατηγοὶ κρινόμενοι καθυπισχνοῦντο

ποιούντων, ἅπας ὁ χρόνος διελήλυθεν. [26] Εἶθ' οὕτως ἀγνωμόνως ἔχετ', ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε δι' ὧν ἐκ χρηστῶν φαῦλα τὰ πράγματα τῆς πόλεως γέγονε, διὰ τούτων ἐλπίζετε τῶν αὐτῶν πράξεων ἐκ φαύλων αὐτὰ χρηστὰ γενήσεσθαι; Ἀλλ' οὔτ' εὔλογον οὔτ' ἔχον ἐστὶ φύσιν τοῦτό γε· πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν ἢ κτήσασθαι πάντα πέφυκεν. Νῦν δ' ὅ τι μὲν φυλάξομεν, οὐδέν ἐστιν ὑπὸ τοῦ πολέμου λοιπὸν τῶν πρότερον, κτήσασθαι δὲ δεῖ. [27] Αὐτῶν οὖν ἡμῶν ἔργον τοῦτ' ἤδη. Φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα, αὐτοὺς ἐξιέναι προθύμως, μηδέν' αἰτιᾶσθαι πρὶν ἂν τῶν πραγμάτων κρατήσητε, τηνικαῦτα δ' ἀπ' αὐ-
26 τῶν τῶν ἔργων κρίναντας τοὺς μὲν ἀξίους ἐπαίνου τιμᾶν, τοὺς δ' ἀδικοῦντας κολάζειν, τὰς προφάσεις δ' ἀφελεῖν καὶ τὰ καθ' ὑμᾶς ἐλλείμματα· οὐ γὰρ ἔστι πικρῶς ἐξετάσαι τί πέπρακται

[2] Φίλιππος γὰρ ἄρχεται μὲν περὶ Ἁλοννήσου λέγων ὡς ὑμῖν δίδωσιν ἑαυτοῦ οὖσαν, ὑμᾶς δ' οὔ φησι δικαίως αὐτὸν ἀπαιτεῖν· οὐ γὰρ ὑμετέραν οὖσαν οὔτε λαβεῖν οὔτε νῦν ἔχειν. Ἔλεγεν δὲ καὶ πρὸς ἡμᾶς τοιούτους λόγους, ὅτε πρὸς αὐτὸν ἐπρεσβεύσαμεν, ὡς λῃστὰς ἀφελόμενος ταύτην τὴν νῆσον κτήσαιτο, καὶ προσήκειν αὐτὴν ἑαυτοῦ εἶναι. [3] Τοῦτον δὲ τὸν λόγον, ὡς οὐκ ἔστι δίκαιος, οὐ χαλεπόν ἐστιν αὐτοῦ ἀφελέσθαι. Ἅπαντες γὰρ οἱ λῃσταί, τοὺς ἀλλοτρίους τόπους καταλαμβάνοντες καὶ τούτους ὀχυροὺς ποιούμενοι, ἐντεῦθεν τοὺς ἄλλους κακῶς ποιοῦσιν. Ὁ δὴ τοὺς λῃστὰς τιμωρησάμενος καὶ κρατήσας οὐκ ἂν δήπου εἰκότα λέγοι, εἰ φαίη, ἃ ἐκεῖνοι ἀδίκως καὶ ἀλλότρια εἶχον, ταῦθ' ἑαυτοῦ γίγνεσθαι. [4] Εἰ γὰρ ταῦτα συγχωρήσετε, τί κωλύει, καὶ εἴ τινα τῆς Ἀττικῆς λῃσταὶ τόπον καταλάβοιεν ἢ Λήμνου ἢ Ἴμβρου ἢ Σκύρου, καί τινες τούτους τοὺς λῃστὰς ἐκκόψαιεν, εὐθὺς καὶ τὸν τόπον τοῦτον, οὗ ἦσαν οἱ λῃσταί, τὸν ὄντα ἡμέτερον, τῶν τιμωρησαμένων τοὺς λῃστὰς γίγνεσθαι; [5] Φίλιππος δ' οὐκ ἀγνοεῖ ταῦτ' οὐ δίκαια λέγων, ἀλλ' εἴ καί τις ἄλλος ἐπιστάμενος παρακρουσθῆναι ἂν ὑμᾶς οἴεται ὑπὸ τῶν τἀνταῦθα διοικήσειν,

NC. 2. φησιν S. — 4. ἔλεγεν S. — 9. ὀχυροὺς a été, dans S, substitué à ἐχυροὺς par la première main elle-même. — 15-16. Herwerden et Cobet écartent τοὺς λῃστὰς et οὗ ἦσαν οἱ λῃσταί. Ils corrigent l'orateur. — 18-2. ἀλλ' εἰ καὶ... πραττόντων (p. 248, l. 2) manque dans S et L[1]. Le copiste a sauté de λέγ|ων ἀλλὰ à πραττόντ|ων ἀλλά. — 19. Après διοικήσειν les mss. (sauf l'*Urbinas* et A[1]) ajoutent μελλόντων, glose condamnée par Reiske

1. Περὶ Ἁλοννήσου. L'Halonnèse était une des petites îles situées au nord de l'Eubée, et qui font en quelque sorte suite à la presqu'île de Magnésie. Cf. Strabon, IX, p. 436. *Lettre de Philippe*, § 12 sqq.

5. Ἐπρεσβεύσαμεν. Quant à cette ambassade, voyez la *Notice*.

6-8. Τοῦτον δὲ λόγον.... ἀφελέσθαι, mais il n'est pas difficile de lui arracher cet argument, (en démontrant) qu'il n'est pas conforme à la justice. Après ὡς οὐκ ἔστι δίκαιος, on s'attend à ἀποδείξασθαι. Mais en grec ἀφελέσθαι peut avoir pour complément une phrase négative, d'après l'analogie de ἐλέγξαι et, en général, des verbes indiquant une dénégation, un empêchement, une privation. G. H. Schæfer cite Platon, *Soph*. p. 260 A : Εἰ δὲ ἀφῃρέθημεν αὐτὸ μηδ' εἶναι τὸ παράπαν, οὐδὲν ἂν ἔτι που λέγειν οἷοί τ' ἦμεν. *Lysis*, p. 222 B : Οὐ ῥᾴδιον ἀποβαλεῖν τὸν πρόσθεν λόγον, ὡς οὐ τὸ ὅμοιον τῷ ὁμοίῳ.... ἄχρηστον.

8-10. Ἅπαντες γὰρ οἱ λῃσταὶ.... κακῶς ποιοῦσιν. Il y a ici des détails superflus, des longueurs, peu d'accord avec le style de Démosthène.

14. Λήμνου ἢ Ἴμβρου ἢ Σκύρου. Ces trois îles étaient d'anciennes possessions incontestées d'Athènes.

18. Ἐπιστάμενος a pour complément ταῦτ' οὐ δίκαια λέγων.

ὡς ἂν αὐτὸς ἐκεῖνος βούληται, καὶ πρὶν ὑπεσχημένων, καὶ νῦν
8 δὲ πραττόντων. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνό γε λανθάνει αὐτὸν, ὅτι δι' ἀμφοτέρων τῶν ὀνομάτων, ὁποτέρῳ ἂν χρῆσθε, ὑμεῖς ἕξετε τὴν νῆσον, ἄν τε λάβητε ἄν τ' ἀπολάβητε. [6] Τί οὖν αὐτῷ διαφέρει, μὴ τῷ δικαίῳ ὀνόματι χρησάμενον ἀποδοῦναι ὑμῖν, ἀλλὰ δωρεὰν δεδωκέναι, τῷ ἀδίκῳ; Οὐχ ἵν' εὐεργέτημά τι καταλογίσηται πρὸς ὑμᾶς (γελοῖον γὰρ ἂν εἴη τοῦτό γε [τὸ] εὐεργέτημα), ἀλλ' ἵν' ἐνδείξηται ἅπασι τοῖς Ἕλλησιν ὅτι Ἀθηναῖοι τὰ ἐν τῇ θαλάττῃ χωρία ἀγαπῶσι παρὰ τοῦ Μακεδόνος λαμβάνοντες. Τοῦτο δ' ὑμῖν οὐ ποιητέον ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι.

[7] Ὅταν δὲ λέγῃ περὶ τούτων ὡς ἐθέλει διαδικάσασθαι, οὐδὲν ἀλλ' ἢ χλευάζει ὑμᾶς, πρῶτον μὲν ἀξιῶν Ἀθηναίους ὄντας πρὸς τὸν ἐκ Πέλλης ὁρμώμενον περὶ τῶν νήσων διαδικάζεσθαι, πότερ' ὑμέτεραι ἢ ἐκείνου εἰσίν· ὁπότε δ' ἡ μὲν δύναμις ἡ ὑμετέρα, ἡ ἐλευθερώσασα τοὺς Ἕλληνας, μὴ δύναται ὑμῖν τὰ ἐν τῇ θαλάττῃ χωρία σῴζειν, οἱ δὲ δικασταὶ, οἷς

NC. 3. χρῆσθε ὑμεῖς, ἕξετε vulg. Nous avons adopté la ponctuation de S. — 7. γε manque dans S, L. — [τὸ] Herwerden. — 8. πᾶσι vulg. — 10. οὐ περιοπτέον Herwerden. — 12. διαδικάζεσθαι vulg. — 15. πότερον vulg. — ὁπότε δ' est notre correction. ὁπότε γὰρ manuscrits. ἔπειτα δ', εἴ γε ἡ *Feliciana* (par conjecture). Les mots πρῶτον μὲν, l. 13, annoncent une seconde considération ; et on ne saurait la trouver, avec Vœmel, dans ἔτι..., au commencement du § 9, où il s'agit de tout autre chose. — 17. τὰ ἐν τῇ θαλάττῃ χωρία σῴζειν S. L. τὰ χωρία τὰ ἐν τῇ θαλάττῃ διασῴζειν vulg.

1-2. Καὶ νῦν δὲ πραττόντων, et qui maintenant le font en effet. Πραττόντων est un terme général, qui tient ici lieu de διοικούντων τὰ ἐνθαῦτα ὡς ἐκεῖνος βούλεται. — Quant à καὶ.... δέ, cf. *Olynth.* III, 15 : Καὶ πρᾶξαι δὲ δυνήσεσθε.

6. Δωρεὰν δεδωκέναι : l'infinitif du parfait, introduit après celui de l'aoriste, pour éviter la répétition des mêmes sons. « Philippe veut vous en avoir fait présent. »

7. Τοῦτο est sujet : γελοῖον εὐεργέτημα est attribut.

9. Τὰ ἐν τῇ θαλάττῃ χωρία. L'idée sous-entendue οὐ φατὲ ἰσχύειν se trouve exprimée à la fin du § 8.

12. Διαδικάσασθαι, s'en remettre (ἐπιτρέπειν, p. 240, l. 1) au jugement d'un arbitre. Διαδικάζεσθαι se disait de plaideurs qui se disputaient un bien ou un droit. *Anecdota Bekkeri*, I, p. 236 : Διαδικασία · οὐχ ἁπλῶς πᾶσα δίκη διαδικασία καλεῖται, ἀλλ' ἐν αἷς περί τινος ἀμφισβήτησίς ἐστιν, ὅτῳ προσήκει μᾶλλον

13-14. Ἀθηναίους ὄντας πρὸς τὸν ἐκ Πέλλης ὁρμώμενον (« issu »). On cite *Couronne*, § 68 : Τῷ μὲν ἐν Πέλλῃ τραφέντι..., ὑμῖν δ' οὖσιν Ἀθηναίοις. Euripide (*Iph. Aul.* 752) fait dire à Achille : Ἡ Σίπυλος ἔσται πόλις, ὅρισμα βαρβάρων, Ὅθεν πεφύκασ' οἱ στρατηλάται γένος, Φθία; δὲ τοὔνομ' οὐδαμοῦ κεκλήσεται.

15. Ὁπότε δ(έ). Un simple δέ répond ici à πρῶτον μέν. Cf. *Mégalop.* § 18 : Ἐγὼ δὲ νομίζω τὴν πόλιν πρῶτον μέν.... Εἰ δ' ἄρα....

ἂν ἐπιτρέψητε, οἱ κύριοι τῆς ψήφου, οὗτοι ὑμῖν σώσουσιν, ἐὰν μὴ Φίλιππος αὐτοὺς πρίηται, [8] πῶς ὑμεῖς οὐχ ὁμολογουμένως, ὅταν ταῦτα διαπράττησθε, τῶν ἐν τῇ ἠπείρῳ ἁπάντων ἀφεστήκατε, καὶ ἐπιδείκνυτε ἅπασιν ἀνθρώποις ὅτι οὐδὲ περὶ ἑνὸς αὐτῷ διαγωνιεῖσθε, εἴγε περὶ τῶν ἐν τῇ θαλάττῃ, οὗ φατὲ ἰσχύειν, μὴ διαγωνιεῖσθε, ἀλλὰ δικάσεσθε;

[9] Ἔτι περὶ συμβόλων φησὶ πεπομφέναι πρὸς ὑμᾶς τοὺς ποιησομένους, ταῦτα δὲ κύρια ἔσεσθαι, οὐκ ἐπειδὰν ἐν τῷ δικαστηρίῳ τῷ παρ' ὑμῖν κυρωθῇ, ὥσπερ ὁ νόμος κελεύει, ἀλλ' ἐπειδὰν ὡς ἑαυτὸν ἐπανενεχθῇ, ἐφέσιμον τὴν παρ' ὑμῶν γενομένην γνῶσιν ὡς ἑαυτὸν ποιούμενος· βούλεται γὰρ ὑμῶν 79
τοῦτο προλαβεῖν καὶ ὁμολογούμενον ἐν τοῖς συμβόλοις καταστῆσαι, ὅτι τῶν περὶ Ποτείδαιαν γεγενημένων ἀδικημάτων οὐ-

NC. 1. σώσουσιν S. σώζουσιν (ou σώζωσιν) vulg. — 2. ὑμεῖς οὐχ ὁμολογουμένως vulg. ἡμεῖς οὐχ ὁμολογοῦμεν ὡς S, L[1] : leçon inadmissible, que Vœmel n'aurait pas dû adopter. — 3. πάντων A, Y. — 4. ἐπιδείκνυται S, F : faute d'orthographe. — πᾶσιν A, Y. — 5. ἑνὸς αὐτῷ διαγωνιεῖσθε Bekker. ἑνὸς αὐτῶν διαγωνιεῖσθε S, L. ἑνὸς ἂν αὐτῷ διαγωνίζησθε vulg. — εἴ γε περὶ S, L. εἰ ὑπὲρ vulg. — 6. δικάσεσθε S, L. διαδικάζεσθε vulg. — 9. ὥσπερ S, L. ὡς vulg.

3. Ὅταν ταῦτα διαπράττησθε, lorsque vous entamez de telles négociations. Généralement διαπράττεσθαί τι veut dire « obtenir quelque chose. » Ici ταῦτα ne désigne pas l'objet de la négociation, mais la négociation elle-même : ce pronom équivaut à ταύτας τὰς διαπράξεις. C'est ainsi que τί δ' ἐστέναξας τοῦτο; (Euripide, *Iph. Taur.* 550) peut signifier : « Pourquoi gémis-tu sur ce malheur? » et « Pourquoi pousses-tu ce gémissement? »

5. Οὗ, *ubi*, se rapporte à la locution ἐν τῇ θαλάττῃ.

7. Περὶ συμβόλων. Les États qui avaient entre eux des rapports suivis de commerce, fixaient souvent par un traité le mode suivant lequel seraient jugés les différends entre leurs citoyens. Ces traités s'appelaient σύμβολα, et les procès jugés conformément à ces traités, δίκαι ἀπὸ συμβόλων. Cf. Harpocration : Σύμβολα· τὰς συνθήκας, ἃς ἂν αἱ πόλεις ἀλλήλαις θέμεναι τάττωσι τοῖς πολίταις ὥστε διδόναι καὶ λαμβάνειν τὰ δίκαια. Πολλάκις ἐν τῷ ἑβδόμῳ Φιλιππικῶν (c'est notre discours) Δημοσθένης.

7-8. Τοὺς ποιησομένους. Sous-ent. σύμβολα.

8-10. Ταῦτα δὲ κύρια ἔσεσθαι.... ὡς ἑαυτὸν ἐπανενεχθῇ. On pourrait croire que Philippe voulait réserver aux Macédoniens le droit d'en appeler à lui des verdicts rendus par les tribunaux athéniens. Mais tel n'est pas le sens de ces mots. Ταῦτα se rapporte évidemment à συμβόλων, et la suite du passage montre qu'il s'agit de la ratification du traité. L'orateur n'admet pas que les stipulations convenues entre le peuple d'Athènes et les ambassadeurs de Philippe soient ratifiées et revisées par ce dernier. — Ἐν τῷ δικαστηρίῳ. Il résulte de ces mots que les traités du genre dont il s'agit ici, étaient sanctionnés par une assemblée de jurés, sans doute très-nombreuse. Pollux, VIII, p. 88, dit, en énumérant les attributions des Thesmothètes : καὶ τὰ σύμβολα τὰ πρὸς τὰς πόλεις κυροῦσι. On doit supposer que les Thesmothètes n'exerçaient ce droit que conjointement avec l'Héliée qu'ils présidaient. Voir Schœmann, *Der attische Process*, p. 775 sqq.

δὲν ἐγκαλεῖτ' αὐτῷ ὡς ἀδικούμενοι, ἀλλὰ βεβαιοῦτε δικαίως αὐτὴν ἐκεῖνον καὶ λαβεῖν καὶ κεκτῆσθαι. [10] Καίτοι Ἀθηναίων οἱ ἐν Ποτειδαίᾳ κατοικοῦντες, οὐκ ὄντος αὐτοῖς πολέμου πρὸς Φίλιππον, ἀλλὰ συμμαχίας, καὶ ὅρκων ὀμωμοσμένων, οὓς Φίλιππος τοῖς οἰκοῦσιν ἐν Ποτιδαίᾳ ὤμοσεν, ἀφῃρέθησαν ὑπ' αὐτοῦ τὰ κτήματα. Ταῦτα δὴ βούλεται τἀδικήματα πολλάκις πανταχόσε παρ' ὑμῖν βεβαιώσασθαι, ὅτι οὔτ' ἐγκαλεῖτ' οὔθ' ἡγεῖσθ' ἀδικεῖσθαι· [11] ἐπεὶ ὅτι γε συμβόλων οὐδὲν δέονται Μακεδόνες πρὸς Ἀθηναίους, ὁ παρεληλυθὼς ὑμῖν χρόνος τεκμήριον γενέσθω· οὔτε γὰρ Ἀμύντας ὁ πατὴρ ὁ Φιλίππου οὔθ' οἱ ἄλλοι βασιλεῖς οὐδεπώποτε σύμβολα ἐποιήσαντο πρὸς τὴν πόλιν τὴν ἡμετέραν. [12] Καίτοι γε πλείους γ' ἦσαν αἱ ἐπιμιξίαι τότε πρὸς ἀλλήλους ἢ νῦν εἰσίν· ἐφ' ἡμῖν γὰρ ἦν ἡ Μακεδονία καὶ φόρους ἡμῖν ἔφερον, καὶ τοῖς ἐμπορίοις τότε μᾶλλον ἢ νῦν ἡμεῖς τε τοῖς ἐκεῖ κἀκεῖνοι τοῖς παρ' ἡμῖν ἐχρῶντο, καὶ ἐμπορικαὶ δίκαι οὐκ ἦσαν, ὥσπερ νῦν, ἀκριβεῖς, αἱ κατὰ μῆνα,

NC. 6-7. πολλάκις πανταχόσε S, L. πανταχόσε (ou πανταχῶς) vulg. — 7. ἐγκαλεῖτε S, L[1]. ἐγκαλεῖτε αὐτῷ vulg. — 11. Après ἄλλοι la vulgate insère Μακεδονίας. — 12. καίτοι γε S, L[1]. καίτοι vulg. — 13. ὑφ' ἡμῖν Cobet. — 14. ἔφερον S, L. ἔφερε vulg. — 15. τε manque dans S, L.

1-2. Ἀλλὰ βεβαιοῦτε.... κεκτῆσθαι. En elle-même, la prise de Potidée par Philippe ne pouvait se trouver ni confirmée, ni infirmée par le traité à conclure, pas plus que la prise de Pydna, de Méthone ou de toute autre ville. Mais quand Philippe s'empara de Potidée (en 356), cette ville était occupée par des colons athéniens; le roi de Macédoine confisqua leurs biens; et c'est uniquement de cette confiscation qu'il s'agit ici, ainsi qu'on va le voir au paragraphe suivant. L'orateur s'exprime vaguement et inexactement, peut-être dans le dessein de grossir la question.

6-7. Πολλάκις πανταχόσε, souvent et de toutes les façons (littéralement : en tout sens). « Πολλάκις oratorie dictum esse « intelligo de re bis confirmata, in pacis « formula et in symbolis. » [Vœmel.] Le traité de paix avait confirmé Philippe dans la possession de Potidée; cette convention sanctionnera les confiscations. — Βεβαιώσασθαι, se faire confirmer, *operam dare ut sibi confirmetur*. [Reiske.] C'est ainsi que le moyen διδάσκεσθαι veut dire « faire instruire ». Strepsiade dit à son fils (Aristophane, *Nuées*, 1338) : Ἐδιδαξάμην σε τοῖσιν δικαίοις ἀντιλέγειν. — Pour ce qui est du fond des choses, on stipulait ordinairement, dans ces espèces de traités, que les biens confisqués en temps de paix devaient être restitués à leurs propriétaires. Philippe avait un intérêt à modifier cette clause de façon qu'elle ne pût être invoquée par les Athéniens dépouillés lors de la prise de Potidée. Voir Vœmel, *Philippicæ*, III, p. 53 et p. 126. A. Schæfer, p. 408, note 2.

13-14. Ἐφ' ἡμῖν γὰρ.... ἔφερον, la Macédoine dépendait de nous, et ils (les Macédoniens) nous payaient un tribut. Cf. *Olynth.* III, § 24 et la note.

16. Αἱ κατὰ μῆνα. Du temps de Démosthène, les procès entre négociants marins (δίκαι ἐμπορικαί) étaient ἔμμηνοι, c'est-à-dire, qu'ils devaient être jugés dans le délai d'un mois. Cf. *Contre Apaturios*, § 23: Αἱ δὲ λήξεις τῶν δικῶν τοῖς ἐμπόροις

ποιοῦσαι μηδὲν δεῖσθαι συμβόλων τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας. [13] Ἀλλ' ὅμως οὐδενὸς τοιούτου ὄντος τότε, οὐκ ἐλυσιτέλει σύμβολα ποιησαμένους οὔτ' ἐκ Μακεδονίας πλεῖν Ἀθήναζε δίκας ληψομένοις, οὔθ' ἡμῖν εἰς Μακεδονίαν, ἀλλ' ἡμεῖς τε τοῖς ἐκεῖ νομίμοις ἐκεῖνοί τε τοῖς παρ' ἡμῖν τὰς δίκας ἐλάμβανον. Μὴ οὖν ἀγνοεῖθ' ὅτι τὰ σύμβολα ταῦτα 80 γίγνεται εἰς ὑποδοχὴν τοῦ μηδ' ἀμφισβητῆσαι εὐλόγως ὑμᾶς ἔτι Ποτειδαίας.

[14] Περὶ δὲ τῶν λῃστῶν δίκαιόν φησιν εἶναι κοινῇ φυλάττειν τοὺς ἐν τῇ θαλάττῃ κακουργοῦντας ὑμᾶς τε καὶ αὐτόν, οὐδὲν ἀλλ' ἢ τοῦτ' ἀξιῶν, ὑφ' ὑμῶν εἰς τὴν θάλατταν κατασταθῆναι, καὶ ὁμολογῆσαι ὑμᾶς ὡς ἄνευ Φιλίππου οὐδὲ τὴν ἐν [τῇ] θαλάττῃ φυλακὴν δυνατοί ἐστε φυλάττειν, [15] ἔτι δὲ καὶ δοθῆναι αὐτῷ ταύτην τὴν ἄδειαν, περιπλέοντι καὶ ὁρμιζομένῳ εἰς τὰς νήσους ἐπὶ προφάσει τῇ τῶν λῃστῶν φυλακῇ διαφθείρειν τοὺς νησιώτας καὶ ἀφιστάναι ὑμῶν, καὶ μὴ μόνον τοὺς φυγάδας τοὺς παρ' ἑαυτοῦ εἰς Θάσον κεκομικέναι διὰ τῶν ὑμετέρων στρατηγῶν, ἀλλὰ καὶ τὰς ἄλλας νήσους οἰκειώσασθαι,

NC. 4. ληψομένοις S, L[1] seuls. ληψομένους vulg. — 7. εὐλόγως ὑμᾶς S, L. ὑμᾶς εὐλόγως vulg. — 8. ποτιδαίας S. περὶ τῆς ποτιδαίας vulg. — 13. τῇ omis dans L, *Urb*. — 16. Avant ὑμῶν, la vulgate ajoute ἀφ'.

ἔμμηνοί εἰσιν ἀπὸ τοῦ βοηδρομιῶνος μέχρι τοῦ μουνυχιῶνος, ἵνα παραχρῆμα τῶν δικαίων τυχόντες ἀνάγωνται. Cf. Bœckh, *Staatshaushaltung*, I, p. 72.

1-2. Τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας. Vu la distance des pays, il y avait avantage à poursuivre son droit dans le pays où l'on se trouvait.

3-4. Οὔτ' ἐκ Μακεδονίας.... εἰς Μακεδονίαν. On voit que, d'après le projet de traité proposé par Philippe, les procès entre Athéniens et Macédoniens devaient être jugés dans le pays du défendeur. — Ληψομένοις est au datif, au même titre que ἡμῖν, et dépend de ἐλυσιτέλει. L'accusatif ποιησαμένους se construit avec πλεῖν.

7. Εἰς ὑποδοχήν équivaut à ἵνα οἱ ἄνθρωποι ὑποδέχωνται, c'est-à-dire, ὑπολάβωσι, « dans l'intention de faire supposer. »

11-12. Εἰς τὴν θάλατταν κατασταθῆναι, être établi comme puissance maritime.

15. Ἐπὶ προφάσει τῇ τῶν λῃστῶν φυλακῇ. La locution ἐπὶ προφάσει est la plupart du temps suivie d'un génitif. Mais la construction appositive qu'on voit ici, n'a rien qui puisse étonner.

16-18. Τοὺς φυγάδας.... στρατηγῶν. Philippe avait obtenu d'un général athénien de ramener à Thasos des exilés qui s'étaient réfugiés en Macédoine. Voilà ce qui résulte de notre passage. Le scholiaste ajoute que ce général était Charès, et que ces Thasiens avaient été exilés comme partisans de Philippe. Ἐλεγχθέντες γάρ τινες τῶν Θασίων ὡς μέλλουσι Φιλίππῳ προδιδόναι τὰ πράγματα, ἐφυγαδεύθησαν ἐκ τῶν πολιτῶν. Τούτους ὁ Φίλιππος, πείσας τοὺς περὶ τὸν Χάρητα, κατήγαγεν. — Le parfait κεκομικέναι indique un fait accompli. L'aoriste οἰκειώσασθαι, de même que les infinitifs aoristes qu'on a vus plus haut, marque une intention de Philippe. [Franke]

συμπέμπων τοὺς συμπλευσομένους μετὰ τῶν στρατηγῶν τῶν ὑμετέρων ὡς κοινωνήσοντας τῆς κατὰ θάλατταν φυλακῆς. [16] Καίτοι οὔ φασί τινες αὐτὸν προσδεῖσθαι τῆς θαλάττης. Ὁ δ', οὐδὲν δεόμενος, τριήρεις κατασκευάζεται, καὶ νεωσοίκους οἰκοδομεῖται, καὶ ἀποστόλους ἀποστέλλειν βούλεται καὶ δαπάνας οὐ μικρὰς δαπανᾶν εἰς τοὺς κατὰ θάλατταν κινδύνους, ὧν οὐδὲν προτιμᾷ.

[17] Ταῦτ' οἴεσθ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον ἀξιῶσαι ὑμᾶς συγχωρῆσαι αὐτῷ, εἰ μὴ ὑμῶν μὲν κατεφρόνει, οὓς δ' ἐνθάδε προῄρηται φίλους κεκτῆσθαι, τούτοις διεπίστευεν; Οἳ οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες καὶ οὐ τῇ αὑτῶν πατρίδι, καὶ τὰς παρ' ἐκείνου δωρεὰς λαμβάνοντες οἴονται οἴκαδε λαμβάνειν, τὰ οἴκοι πωλοῦντες.

81 [18] Περὶ δὲ τῆς εἰρήνης, ἣν ἔδοσαν ἡμῖν οἱ πρέσβεις οἱ παρ' ἐκείνου πεμφθέντες ἐπανορθώσασθαι, ὅτι ἐπηνωρθωσάμεθα, ὃ παρὰ πᾶσιν ἀνθρώποις ὁμολογεῖται δίκαιον εἶναι, ἑκατέρους ἔχειν τὰ ἑαυτῶν, ἀμφισβητεῖ μὴ δεδωκέναι μηδὲ τοὺς πρέ-

NC. 1-2. πλευσομένους L. — τῶν στρατηγῶν τῶν ὑμετέρων vulg. τῶν ημετέρων στρατηγῶν S. Cf. p. 251, l. 17-18. On peut croire que l'orateur a varié l'ordre des mots. — 8. ταῦτα οἴεσθ' ἂν.... ἀξιῶσαι S, L [1]. ταῦτα οὖν οἴεσθε.... ἀξιῶσαι ἂν vulg. — 10. τούτοις δ' ἐπίστευεν Cobet. — 14. Avant τῆς εἰρήνης, la vulgate porte τῆς ἐπανορθώσεως. — 17. ἔχειν τὰ ἑαυτῶν S, L. τὰ ἑαυτῶν ἔχειν vulg.

4. Οὐδὲν δεόμενος. Sous-ent. τῆς θαλάττης. Il faut dire que cette tournure ironique est tout à fait dans le goût de Démosthène.

6-7. Ὧν οὐδὲν προτιμᾷ, dont il ne se soucie point (à ce que disent certaines gens). Ne traduisez pas : « auxquels il ne préfère rien. » Cf. Aristophane, *Plut.* 883 : Οὐδὲν προτιμῶ σου. Photius : Προτιμᾶν τὸ φροντίζειν. Καὶ Δημοσθένης ἐν Φιλιππικοῖς.

11. Φιλίππῳ ζῶντες καὶ οὐ τῇ ἑαυτῶν πατρίδι. Cf. *Couronne*, § 205 : Ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι.

11-13. Τὰς παρ' ἐκείνου δωρεὰς.... οἴκαδε λαμβάνειν, τὰ οἴκοι πωλοῦντες. Pour comprendre cette phrase, il faut se souvenir que les termes οἴκαδε et οἴκοι se rapportent aussi bien à la patrie qu'à la maison. « En recevant les dons de Philippe, ils croient s'enrichir, tandis qu'ils se vendent eux-mêmes et la patrie. » Cf. *Contre la lettre de Philippe*, § 18 : Οἱ τὰς παρ' ἐκείνου δωρεὰς οἴκαδε λαμβάνειν νομίζοντες..., οὐδ' αἰσθάνονται πάντα καὶ τὰ τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πωλοῦντες. C'est une paraphrase de notre passage. — Quant à οἴκαδε λαμβάνειν, que G. H. Schæfer explique : *rem familiarem augere*, voyez Pindare, *Olymp.* VII, 4 : Φιάλαν ὡς εἴ τις.... δωρήσεται νεανίᾳ γαμβρῷ προπίνων οἴκοθεν οἴκαδε.

14-17. Περὶ.... τῆς εἰρήνης. Ces mots dépendent de ἐπηνωρθωσάμεθα. — Ἣν ἔδοσαν ἡμῖν.... ἐπανορθώσασθαι, qu'ils offrirent de nous laisser amender. — Ὅτι ἐπηνωρθωσάμεθα, pour ce qui est de la rectification proposée par nous. D'autres rendent ὅτι par *quia*. — Ἑκατέρους ἔχειν

σβεις ταῦτ' εἰρηκέναι πρὸς ὑμᾶς, οὐδὲν ἀλλ' ἢ πεπεισμένος ὑπὸ τούτων, οἷς χρῆται φίλοις, ὡς ὑμεῖς οὐ μνημονεύετε τὰ ἐν τῷ δήμῳ εἰρημένα. [19] Μόνον δὲ τοῦτ' οὐχ οἷόν θ' ὑμῖν ἐστιν ἀμνημονῆσαι· ἐν γὰρ τῇ αὐτῇ ἐκκλησίᾳ καὶ οἱ πρέσβεις ὑμῖν οἱ παρ' ἐκείνου ἥκοντες διελέγοντο καὶ τὸ ψήφισμα ἐγράφη, ὥστ' οὐχ οἷόν τε, παραχρῆμα τῶν λόγων εἰρημένων καὶ εὐθὺς τοῦ ψηφίσματος ἐπαναγιγνωσκομένου, τὴν καταψευδομένην γνώμην τῶν πρέσβεων, ταύτην ὑμᾶς χειροτονῆσαι· ὥστε τοῦτο μὲν οὐ κατ' ἐμοῦ, ἀλλὰ καθ' ὑμῶν ἐπέσταλκεν, ὡς ὑμεῖς περὶ ὧν οὐκ ἠκούσατε, περὶ τούτων ἀποκρινάμενοι τὴν γνώμην ἀπεστείλατε. [20] Καὶ οἱ μὲν πρέσβεις αὐτοί, ὧν κατεψεύδετο τὸ ψήφισμα, ὅτ' ἀπεκρίνεσθ' αὐτοῖς ἀναγιγνώσκοντες καὶ ἐπὶ ξένι' αὐτοὺς ἐκαλεῖτε, οὐκ ἐτόλμησαν παρελθεῖν, οὐδ' εἰπεῖν ὅτι « καταψεύδεσθε ἡμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φατὲ ἡμᾶς εἰρηκέναι ἃ οὐκ εἰρήκαμεν », ἀλλὰ σιωπῇ ἀπιόντες ᾤχοντο. Βούλομαι δ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι (καὶ γὰρ ηὐδοκίμησεν ὁ Πύθων παρ' ὑμῖν ἐν τῇ δημηγορίᾳ, ὁ τότε πρεσβεύων) αὐτοὺς τοὺς λόγους, οὓς ἔλεγεν, ὑπομνῆσαι· οἶδα γὰρ ὅτι μέμνησθε. [21] Παραπλήσιοι δ' ἦσαν οἷς καὶ νῦν ἐπέσταλκε Φίλιππος· ἐγκαλῶν γὰρ ἡμῖν τοῖς διαβάλλουσι τὸν Φίλιππον, καὶ ὑμῖν ἐμέμφετο ὅτι ὡρμη-

NC. 3-4. ὑμῖν ἐστὶν S, L. ἐστιν ὑμῖν vulg. — 4-5. πρέσβεις ὑμῖν.... διελέγοντο vulg. πρέσβεις.... ὑμῖν διελέγοντο S, L. et les derniers éditeurs. — 6. οἷόν τε S, L[1], οἷόν τ' ἐστι vulg. — 8. ἡμᾶς S, L. — 12. ἀπεκρίνεσθε S, L. ἀπεκρίνασθε vulg. — 13. ἐπὶ ξένια Dindorf et quelques manuscrits. ἐπὶ ξενίαι S. ἐπὶ ξενίαν vulg. Dans cette formule, les inscriptions antiques donnent généralement l'accusatif du pluriel neutre. — 19. μέμνησθε S, L. μνησθήσεσθε la plupart des manuscrits. — 20-21. τοῖς διαβάλλουσι. Nous proposons: ὡς διαβάλλουσι. — τὸν avait été omis par la pr emière main de S.

τὰ ἑαυτῶν. Cette formule devait être substituée à celle que portait le traité : ἑκατέρους ἔχειν ἃ ἔχουσιν. Cf. la *Notice*, et le § 26. « Ad μὴ δεδωκέναι subaudias τοῦτο τὸ ἐπανόρθωμα. » [G. H. Schæfer.]

1. Οὐδὲν ἀλλ' ἢ πεπεισμένος, uniquement parce qu'il a été induit à croire.

2. Οὐ μνημονεύετε. Cf. *Amb.* 136.

7-8. Τὴν καταψευδομένην γνώμην τῶν πρέσβεων, la motion qui prêtait aux ambassadeurs des paroles qu'ils n'avaient pas dites. Cf. l. 12. — Ταύτην. Ce pronom reprend avec une certaine insistance l'idée des mots dont il est séparé par une virgule. Cf. l. 10 : περὶ τούτων.

12-13. Ὅτ' ἀπεκρίνεσθε.... ἀναγιγνώσκοντες, quand vous leur faisiez connaître votre réponse par un décret lu devant eux.

13. Ἐπὶ ξένι(α), au repas offert au nom de la cité dans le Prytanée. Il était d'usage d'y convier les ambassadeurs. Cf. Hermann, *Gr. Alterthümer*, I, § 127, 16.

17. Πύθων. Voir la *Notice*.

19. Μέμνησθε, vous ne les avez pas

82 κότος αὐτοῦ εὖ ποιεῖν ὑμᾶς καὶ προῃρημένου μάλιστα τῶν Ἑλλήνων φίλους κεκτῆσθαι αὐτοὶ κωλύετε, ἀποδεχόμενοι τοὺς λόγους τῶν συκοφαντούντων καὶ χρήματα ἐκεῖνον αἰτούντων καὶ διαβαλλόντων. Τοὺς γὰρ τοιούτους λόγους, ὅταν ἀπαγγελλόντων ἀκούῃ, ὅτι κακῶς ἤκουεν, ὑμεῖς δ' ἀπεδέχεσθε, μεταβάλλειν αὐτοῦ τὴν γνώμην, ὅταν ἄπιστος φαίνηται τούτοις ὧν προῄρηται εὐεργέτης εἶναι. [22] Ἐκέλευεν οὖν τοὺς λέγοντας ἐν τῷ δήμῳ τῇ μὲν εἰρήνῃ μὴ ἐπιτιμᾶν· οὐ γὰρ ἄξιον εἶναι εἰρήνην λύειν· εἰ δέ τι μὴ καλῶς γέγραπται ἐν τῇ εἰρήνῃ, τοῦτ' ἐπανορθώσασθαι, ὡς ἅπαντα Φίλιππον ποιήσοντα ὅσ' ἂν ὑμεῖς ψηφίσησθε. Ἂν δὲ διαβάλλωσι μέν, αὐτοὶ δὲ μηδὲν γράφωσι δι' οὗ ἡ μὲν εἰρήνη ἔσται, παύσεται δ' ἀπιστούμενος ὁ Φίλιππος, μὴ προσέχειν τὸν νοῦν τοῖς τοιούτοις ἀνθρώποις. [23] Καὶ τούτους τοὺς λόγους ὑμεῖς ἀκούοντες ἀπεδέχεσθε, καὶ δίκαια ἔφατε τὸν Πύθωνα λέγειν. Καὶ ἦν δίκαια. Ἔλεγε δὲ τούτους τοὺς λόγους, οὐχ ὅπως λυθείη ἐκ τῆς εἰρήνης ἃ ἦν ἐκείνῳ συμφέροντα καὶ ὧν πολλὰ χρήματα ἀνηλώκει ὥστε γενέσθαι, ἀλλ' ὑπὸ τῶν ἐνθάδε διδασκάλων προδεδιδαγμένος, οἳ οὐκ ᾤοντο εἶναι τὸν γράψοντα ἐναντία τῷ Φιλοκράτους ψηφίσματι, τῷ ἀπολλύντι Ἀμφίπολιν. [24] Ἐγὼ δ',

NC. 2-3. τοὺς λόγους. Ces mots, qui manquent dans S[1] et L[1], ont été retranchés par les derniers éditeurs. Il est vrai que le verbe ἀποδέχεσθαι peut se construire avec le génitif. Mais l'auteur de ce discours aime le style simple, et, comme il commence la phrase suivante par τοὺς γὰρ τοιούτους λόγους, il n'a pas dû, ce nous semble, laisser sous-entendre l'antécédent λόγους. — 7. ἐκέλευεν S, L. ἐκέλευσεν vulg. — 10. ἐπανορθώσασθε S, de première main. — 13. ὁ φίλιππος S, L. Φίλιππος vulg. — 14. τούτους τοὺς λόγους S, L. τοὺς λόγους τούτους vulg. — 16. ἐκ. Cette préposition pourrait se retrancher avantageusement.

oubliés. S'il en était autrement, l'orateur ne parviendrait pas à rappeler ces paroles aux Athéniens. Cf. *NC.*

3. Χρήματα ἐκεῖνον αἰτούντων. Python prétendait que les orateurs qui criaient le plus fort contre Philippe ne cherchaient qu'à se faire acheter par le roi. Cf. *Lettre de Philippe*, § 20.

5. Κακῶς ἤκουεν, de même que ἀπεδέχεσθε, a pour régime l'accusatif τοὺς τοιούτους λόγους. Cf. Polybe, XII, VIII, 5 : Πᾶν ῥῆμα καὶ πᾶσαν φωνὴν ἀκούειν.

10. Ὡς ἅπαντα Φίλιππον ποιήσοντα. En substituant le style direct au style indirect, on dirait : ὡς ἅπαντα Φίλιππος ποιήσει.

12. Ἔσται, subsistera.

17. Ὧν équivaut ici à ἀντὶ ὧν.

18. Τῶν ἐνθάδε διδασκάλων. Ce sont les traîtres qui donnaient des directions à l'ambassadeur de Philippe, qui lui avaient fait la leçon, comme dit l'orateur.

20. Τῷ ἀπολλύντι Ἀμφίπολιν, qui perdit Amphipolis, c'est-à-dire, qui vous fit

ὦ ἄνδρες Ἀθηναῖοι, παράνομον μὲν οὐδὲν ἐτόλμησα γράψαι, τῷ δὲ Φιλοκράτους ψηφίσματι οὐκ ἦν παράνομον τἀναντία γράφειν, ὡς ἐγὼ ἐπιδείξω. Τὸ γὰρ ψήφισμα τὸ Φιλοκράτους, καθ' ὃ ὑμεῖς ἀπώλλυτε Ἀμφίπολιν, ἐναντίον ἦν τοῖς προτέροις ψηφίσμασι, καθ' ἃ ὑμεῖς ἐκτήσασθε ταύτην τὴν χώραν. [25] Τοῦτο μὲν οὖν παράνομον ἦν τὸ ψήφισμα, τὸ τοῦ Φιλο- 83 κράτους, καὶ οὐχ οἷόν τ' ἦν τὸν τὰ ἔννομα γράφοντα ταὐτὰ τῷ παρανόμῳ ψηφίσματι γράφειν. Ἐκείνοις δὲ τοῖς προτέροις ψηφίσμασι, τοῖς οὖσιν ἐννόμοις καὶ σώζουσι τὴν ὑμετέραν χώραν, ταὐτὰ γράφων ἔννομά τ' ἔγραψα καὶ ἐξήλεγχον τὸν Φίλιππον, ὅτι ἐξηπάτα ὑμᾶς καὶ οὐχ ἐπανορθώσασθαι ἐβούλετο τὴν εἰρήνην, ἀλλὰ τοὺς ὑπὲρ ὑμῶν λέγοντας ἀπίστους καταστῆσαι. [26] Καὶ ὅτι μὲν δοὺς τὴν ἐπανόρθωσιν νῦν ἔξαρνός ἐστιν, ἅπαντες ἴστε. Φησὶ δ' Ἀμφίπολιν ἑαυτοῦ εἶναι· ὑμᾶς γὰρ ψηφίσασθαι ἐκείνου εἶναι, ὅτ' ἐψηφίσασθε ἔχειν αὐτὸν ἃ εἶχεν. Ὑμεῖς δὲ τὸ μὲν ψήφισμα τοῦτ' ἐψηφίσασθε, οὐ μέντοι γ' ἐκείνου εἶναι Ἀμφίπολιν· ἔστι γὰρ ἔχειν καὶ τἀλλότρια, καὶ

NC. 1. Ἀθηναῖοι vulg. δικασταί S, L[1]. — 2-3. οὐκ ἦν.... γράφειν S, L[1], A[1]. ὃ ἦν.... ἔγραψα vulg. — τὸ τοῦ Φιλοκράτους vulg. — 6. Nous avons mis une virgule avant le second τὸ. Herwerden écarte τὸ τοῦ Φιλ. — 10. ἔγραφον vulg. — 11. ἡμᾶς S de première main. — 15. ὅτ' ἐψηφίσασθε S, L. ὅτ' ἐψηφίζεσθε vulg.

perdre Amphipolis. Cette expression énergique ne serait certes pas indigne de Démosthène. Cf. § 25 : Ψηφίσμασι τοῖς.... σώζουσι τὴν ἡμετέραν χώραν. — La paix de Philocrate, en sanctionnant le *uti possidetis* (ἑκατέρους ἔχειν ἃ ἔχουσιν), avait abandonné Amphipolis au roi de Macédoine.

2. Παράνομον. Aujourd'hui on comprend difficilement que les Athéniens aient pu traiter d'illégale une proposition qui tendait à modifier un traité de paix dans l'intérêt du pays et avec le consentement de l'autre partie contractante. Mais un traité sanctionné par un décret du peuple avait force de loi, et, pour le modifier, il fallait s'astreindre aux formalités que la législation d'Athènes imposait à quiconque voulait abroger ou changer une loi. (Voir la note sur le § 10 de la *IIIe Olynth.*) L'orateur se voit donc obligé de soutenir la thèse étrange que le décret de Philocrate, c'est-à-dire, le traité de paix conclu sur la proposition de ce citoyen, était illégal, parce qu'il différait (chose naturelle et inévitable) de certains décrets rendus précédemment.

4-5. Τοῖς προτέροις ψηφίσμασι. L'orateur entend sans doute les décrets en vertu desquels les Athéniens avaient, à deux reprises, envoyé sur le Strymon les colons qui fondèrent la ville d'Amphipolis. Cf. Thucydide, IV, 102.

10. Ἔγραψα καὶ ἐξήλεγχον. L'imparfait, après l'aoriste, indique un fait concomitant.

16-17. Οὐ μέντοι γ' ἐκείνου εἶναι Ἀμφίπολιν. Il est évident que les Athéniens avaient, par le dernier traité, cédé la ville d'Amphipolis au roi de Macédoine. Mais voici le raisonnement de l'orateur. Philippe a autorisé les Athéniens à modifier le traité comme ils l'entendaient. Les Athéniens ont substitué τὰ ἑαυτῶν à ἃ ἔχουσιν. En acceptant ce changement, comme il le doit,

οὐχ ἅπαντες οἱ ἔχοντες τὰ αὐτῶν ἔχουσιν, ἀλλὰ πολλοὶ καὶ ἀλλότρια κέκτηνται· ὥστε τοῦτό γε τὸ σοφὸν αὐτοῦ ἠλίθιόν ἐστιν. [27] Καὶ τοῦ μὲν Φιλοκράτους ψηφίσματος μέμνηται, τῆς δ' ἐπιστολῆς, ἣν πρὸς ὑμᾶς ἔπεμψεν ὅτ' Ἀμφίπολιν ἐπολιόρκει, ἐπιλέλησται, ἐν ᾗ ὡμολόγει τὴν Ἀμφίπολιν ὑμετέραν εἶναι· ἔφη γὰρ ἐκπολιορκήσας ὑμῖν ἀποδώσειν, ὡς οὖσαν ὑμετέραν καὶ οὐ τῶν ἐχόντων. [28] Κἀκεῖνοι μέν, ὡς ἔοικεν, οἱ πρότερον ἐν Ἀμφιπόλει οἰκοῦντες πρὶν Φίλιππον λαβεῖν, τὴν Ἀθηναίων χώραν εἶχον· ἐπειδὴ δὲ Φίλιππος αὐτὴν εἴληφεν, οὐ τὴν Ἀθηναίων χώραν, ἀλλὰ τὴν ἑαυτοῦ ἔχει. Οὐδ' Ὄλυνθόν γ' οὐδ' Ἀπολλωνίαν οὐδὲ Παλλήνην [οὐκ] ἀλλοτρίας, ἀλλὰ τὰς ἑαυτοῦ χώρας κέκτηται. [29] Ἆρ' ὑμῖν δοκεῖ πεφυλαγμένως ἅπαντα πρὸς ὑμᾶς ἐπιστέλλειν, ὅπως ἂν φαίνηται καὶ λέγων 84 καὶ πράττων ἃ παρὰ πᾶσιν ἀνθρώποις ὁμολογεῖται δίκαια εἶναι, ἀλλ' οὐ σφόδρα καταπεφρονηκέναι, ὃς τὴν χώραν, ἣν οἱ Ἕλληνες καὶ βασιλεὺς ὁ Περσῶν ἐψηφίσαντο καὶ ὡμολογήκασιν ὑμετέραν εἶναι, ταύτην φησὶν ἑαυτοῦ καὶ οὐχ ὑμετέραν εἶναι;

[30] Περὶ δὲ τοῦ ἑτέρου ἐπανορθώματος, ὃ ὑμεῖς ἐν τῇ

NC. 2. ἀλλότρια S, L[1]. τἀλλότρια vulg. — αὐτοῦ vulg. αὐτῷ quelques manuscrits. αὐτῶν S, L[1]. — 4. ὑμᾶς vulg. ἡμᾶς S, L. — 11. [οὐκ]. A la suite de la négation composée οὐδέ, la négation simple οὐκ donne ici un contre-sens. Franke et Dindorf la suppriment. Vœmel y substitue ὡς. — 16. βασιλεὺς ὁ S, L. ὁ βασιλεὺς ὁ, ou ὁ βασιλεύς, vulg.

Philippe ne peut plus invoquer, à l'appui de ses droits sur Amphipolis, un traité qui lui attribuait cette ville comme au dernier occupant, et non comme au légitime propriétaire.

4. Τῆς δ' ἐπιστολῆς. Voir la *Notice* sur la première Philippique, p. 74. Dans les autres passages que nous y citons, il n'est pas positivement dit que Philippe ait donné lui-même dans une lettre de pareilles assurances aux Athéniens. Pour notre part, nous doutons de la véracité de l'orateur : Philippe savait s'arranger de manière qu'on ne pût lui prouver sa mauvaise foi pièces en main.

11. Ἀπολλωνίαν. Voir *Phil.* III, 26, avec la note. — Παλλήνην. C'est la presqu'île, dont la ville de Potidée formait la clef. Les autres cités grecques qui s'y trouvaient ne semblent pas avoir fait partie de de la confédération Olynthienne.

15. Καταπεφρονηκέναι, être plein de mépris pour les autres, plein de hauteur. Il vaut mieux prendre ce verbe d'une manière absolue que de sous-entendre ὑμῶν. [G. H. Schæfer.] Cf. Hésychios : Καταφρονεῖ· ὑπερηφανεῖ.

15-16. Οἱ Ἕλληνες καὶ βασιλεὺς ὁ Περσῶν. Il ne s'agit pas de la paix d'Antalcide, laquelle proclamait l'autonomie de toutes les cités grecques, mais de celle qui fut conclue à Sparte en 371, peu de semaines avant la bataille de Leuctres. Cf. Démosthène, *Amb.* §§ 137 et 253. Eschine, *Ambassade*, § 32. Xénophon, *Hell.* VI, 3. Diodore, XV, 50. A. Schæfer, I, p. 66.

εἰρήνῃ ἐπανορθοῦσθε, τοὺς ἄλλους Ἕλληνας, ὅσοι μὴ κοινωνοῦσι τῆς εἰρήνης, ἐλευθέρους καὶ αὐτονόμους εἶναι, καὶ ἐάν τις ἐπ' αὐτοὺς στρατεύῃ, βοηθεῖν τοὺς κοινωνοῦντας τῆς εἰρήνης, [31] ἡγούμενοι καὶ δίκαιον τοῦτο καὶ φιλάνθρωπον, μὴ μόνον ἡμᾶς καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους καὶ Φίλιππον καὶ τοὺς συμμάχους τοὺς ἐκείνου ἄγειν τὴν εἰρήνην, τοὺς δὲ μήθ' ἡμετέρους ὄντας μήτε Φιλίππου συμμάχους ἐν μέσῳ κεῖσθαι καὶ ὑπὸ τῶν κρειττόνων ἀπόλλυσθαι, ἀλλὰ καὶ τούτοις διὰ τὴν ὑμετέραν εἰρήνην ὑπάρχειν σωτηρίαν, καὶ τῷ ὄντι εἰρήνην ἄγειν ἡμᾶς καταθεμένους τὰ ὅπλα, [32] τοῦτο δὲ τὸ ἐπανόρθωμα ὁμολογῶν ἐν τῇ ἐπιστολῇ, ὡς ἀκούετε, δίκαιόν τ' εἶναι καὶ δέχεσθαι, Φεραίων μὲν ἀφῄρηται τὴν πόλιν καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν, ἵνα δὴ αὐτόνομοι ὦσιν, ἐπὶ δ' Ἀμϐρακίαν στρατεύεται, τὰς δ' ἐν Κασσωπίᾳ τρεῖς πόλεις, Πανδοσίαν καὶ Βούχετα καὶ Ἐλάτειαν, Ἠλείων ἀποικίας, κατακαύσας τὴν χώραν καὶ εἰς τὰς πόλεις βιασάμενος παρέδω-

NC. 1. ἐπανορθοῦσθε S, L[1] seuls. ἐπηνωρθώσασθε vulg. — 4. Après δίκαιον, la vulgate ajoute εἶναι. — 9. ὑμετέραν S. ἡμετέραν vulg. et Vœmel. — 10. ἄγειν ἡμᾶς S, L. ἡμᾶς ἄγειν vulg. — 12. Après Φεραίων, la vulgate ajoute τε. — τὴν πολιτείαν Cobet. Peut-être τὸ ἐμπόριον. Cf. *Ol.* I, 22; *Ol.* II, 11. — 15. Βούχετα (οὐδετέρως καὶ πληθυντικῶς λεγομένη) est la forme attestée par Harpocration et l'*Etymologicum magnum*. βούχεταν manuscrits de Démosthène. — Ἐλάτειαν. D'après Harpocration et Stéphanos de Byzance, on ferait mieux d'écrire la ville de l'Épire Ἐλάτρεια, en réservant l'orthographe Ἐλάτεια à la ville phocidienne de ce nom. — 16. Ancienne vulgate : καὶ τὰς πόλεις.

5. Μόνον ne se rattache pas à μή, mais à ἡμᾶς et aux mots suivants : il équivaut à μόνους. [G. H. Schæfer.]

7-8. Ἐν μέσῳ κεῖσθαι, être placés au milieu, exposés aux entreprises des uns et des autres. Cf. *Phil.* I, 5 : Ἆθλα τοῦ πολέμου κεῖμεν' ἐν μέσῳ.

9-10. Ὑμετέραν εἰρήνην : le traité de paix amendé par les Athéniens. — Ἡμᾶς, « nous, » comprend ici les deux parties contractantes, Philippe et les Athéniens.

10-11. Τοῦτο δὲ τὸ ἐπανόρθωμα, cette correction, dis-je. Comme on a perdu de vue le commencement de cette longue phrase, l'orateur le reprend ici au moyen de la particule δέ.

12-15. Φεραίων.... κατέστησεν. Des garnisons macédoniennes furent mises dans l'acropole de Phères et dans d'autres villes de la Thessalie (cf. *Ambassade*, § 260), quand Philippe soumit ce pays à la nouvelle organisation mentionnée au § 22 de la deuxième Philippique. — Ἐπὶ δ' Ἀμϐρακίαν κτλ. Les faits signalés ici semblent avoir eu lieu peu de temps avant cette harangue: il n'en est pas encore question dans le discours sur l'Ambassade, prononcé l'année d'avant. Philippe mit la main sur l'Épire en établissant roi son beau-frère, Alexandre, aux dépens d'Arybbas. (Cf. *Olynth.* I, 13.) A cette occasion, il prit les villes de la Cassopie, qu'il remit au frère d'Olympias, et il fit une pointe contre Ambracie. (Cf. A. Schæfer, II, p. 398 sq.) L'orateur laisse de côté l'intervention de Philippe en Épire, pour ne s'occuper que de ce qui regarde les populations helléniques.

16. Εἰς τὰς πόλεις βιασάμενος, s'étant

κεν Ἀλεξάνδρῳ τῷ κηδεστῇ τῷ ἑαυτοῦ δουλεύειν. Σφόδρα γε βούλεται τοὺς Ἕλληνας ἐλευθέρους εἶναι καὶ αὐτονόμους, ὡς δηλοῖ τὰ ἔργα.

[33] Περὶ δὲ τῶν ὑποσχέσεων ὧν ὑμῖν διατελεῖ ὑπισχνού-
85 μενος ὡς μεγάλα ὑμᾶς εὐεργετήσων, καταψεύδεσθαί μέ φησιν αὐτοῦ διαβάλλοντα πρὸς τοὺς Ἕλληνας· οὐδὲν γὰρ ὑμῖν πώποτέ φησιν ὑπεσχῆσθαι. Οὕτως ἀναιδής ἐστιν ὁ ἐν ἐπιστολῇ γεγραφὼς, ἥ ἐστι νῦν ἐν τῷ βουλευτηρίῳ, ὅσ' ἐπιστομιεῖν ἡμᾶς, ἔφη, τοὺς αὐτῷ ἀντιλέγοντας, ἐὰν ἡ εἰρήνη γένηται τοσαῦθ' ὑμᾶς ἀγαθὰ ποιήσειν· ἃ γράφειν ἂν ἤδη, εἰ ᾔδει τὴν εἰρήνην ἐσομένην, δῆλον ὡς προκεχειρισμένων καὶ ἑτοίμων ὄντων τῶν ἀγαθῶν, ἃ ἐμέλλομεν πείσεσθαι τῆς εἰρήνης γενομένης. [34] Γενομένης δὲ τῆς εἰρήνης, ἃ μὲν ἡμεῖς ἐμέλλομεν ἀγαθὰ πείσεσθαι, ἐκποδών ἐστιν, φθορὰ δὲ τῶν Ἑλλήνων

NC. 1. Avant σφόδρα, la vulgate ajoute καὶ. — 4. ὑμῖν S, L. ἡμῖν vulg. — 8. ὅσ', correction que je dois à M. Tournier. ὅτ' manuscrits. — 9. αὐτῷ vulg. ἑαυτῷ S. — 10. ὑμᾶς ἀγαθὰ S, L. ἀγαθὰ ἡμᾶς vulg. — 12-13. γενομένης. γενομένης S, L[1]. ἐσομένης. γενομένης vulg. Cobet supprime à tort ἃ... γενομένης. — 13. μέλλομεν S, L, et Vœmel.

introduit de force dans les villes. Cf. Xénophon, *Cyrop.* III, III, 69 : Εἰ καὶ βιάσαιντο εἴσω. Aristophane, *Oiseaux*, 32 : Ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς εἰσβιάζεται.

4. Ὧν est mis, par attraction, pour ἅς.

5. Ὡς.... εὐεργετήσων, en homme qui aurait le dessein de vous combler de bienfaits.

6. Πρὸς τοὺς Ἕλληνας. Ces mots indiquent que celui qui parle avait prononcé des discours non-seulement à Athènes, mais dans plusieurs cités grecques, évidemment en qualité d'ambassadeur athénien. Nous savons en effet par Démosthène (*Phil.* III, 72) qu'Hégésippe avait fait partie d'une ambassade envoyée dans le Péloponnèse.

6-7. Οὐδὲν.... ὑπεσχῆσθαι. Philippe avait fait des promesses, mais des promesses si vagues qu'elles ne l'engageaient à rien. Aussi l'orateur lui-même ne trouve-t-il rien de précis à citer. Voir la *Notice* en tête du discours sur la Paix.

8. Ἐν τῷ βουλευτηρίῳ. Cette pièce se trouvait dans le palais du Conseil accidentellement, peut-être à cause du procès de l'Ambassade. Les archives étaient dans le temple de Cybèle, le Métroon, voisin de ce palais. Cf. *Ambass.* § 129; Pausanias, I, III, 4. [Vœmel.]

8-9. Ὅσ(α) ἐπιστομιεῖν, assez pour fermer la bouche. Ces mots dépendent de τοσαῦτα ἀγαθά (l. 10). L'infinitif se met après ὅσος, ou οἷος, comme après οἷός τε et après ὥστε. Cf. Krueger, *Gr. gr.* 55, 3, 4. L'insertion pléonastique de ἔφη est familière aux Grecs. Cf. *Phil.* III, 44.

10. Ἃ γράφειν. Malgré la forme relative de cette phrase, la construction de l'infinitif est continuée, par assimilation avec la proposition principale. (Voir Krüger, *Gr. gr.* 55, 4, 9.) Cf. Cicéron, *Verr.* IV, 58: « Marcellus, quum Syracusas cepisset, re- « quisivisse dicitur Archimedem illum, « quem quum audisset interfectum, permo- « leste tulisse. »

12-13. Τῆς εἰρήνης γενομένης. Γενομένης δὲ τῆς εἰρήνης. Exemple de répétition, ἐπαναδίπλωσις, cité par le rhéteur Tibérius, ch. xxv (t. VIII, p. 552 Walz). Cf. *Ambassade*, § 40, où il est parlé en termes semblables de la même lettre de Philippe.

14. Φθορὰ δὲ τῶν Ἑλλήνων. Il s'agit

τοσαύτη γέγονεν ὅσην ὑμεῖς ἴστε. Ὑμῖν δ' ἐν τῇ νῦν ἐπιστολῇ ὑπισχνεῖται, ἐὰν τοῖς μὲν αὐτοῦ φίλοις καὶ ὑπὲρ αὐτοῦ λέγουσι πιστεύητε, ἡμᾶς δὲ τοὺς διαβάλλοντας αὐτὸν πρὸς ὑμᾶς τιμωρήσησθε, ὡς μεγάλα εὐεργετήσει. [35] Τὰ μέντοι εὐεργετήματα τοιαῦτ' ἔσται· οὔτε τὰ ὑμέτερα ὑμῖν ἀποδώσει (αὐτοῦ γάρ φησιν εἶναι), οὔτ' ἐν τῇ οἰκουμένῃ αἱ δωρεαὶ ἔσονται, ἵνα μὴ διαβληθῇ πρὸς τοὺς Ἕλληνας, ἀλλ' ἄλλη τις χώρα καὶ ἄλλος, ὡς ἔοικε, τόπος φανήσεται, οὗ ὑμῖν αἱ δωρεαὶ δοθήσονται.

[36] Περὶ δ' ὧν ἐν τῇ εἰρήνῃ εἴληφε χωρίων, ὑμῶν ἐχόντων, παρασπονδῶν καὶ λύων τὴν εἰρήνην, ἐπειδὴ οὐκ ἔχει ὅ τι εἴπῃ, ἀλλ' ἀδικῶν φανερῶς ἐξελέγχεται, ἐπιτρέπειν φησὶν περὶ τούτων ἕτοιμος εἶναι ἴσῳ καὶ κοινῷ δικαστηρίῳ· περὶ ὧν μόνων οὐδὲν δεῖ ἐπιτροπῆς, ἀλλ' ἀριθμὸς ἡμερῶν ἐστιν ὁ κρίνων. Ἅπαντες γὰρ ἴσμεν τίνι μηνὶ καὶ τίνι ἡμέρᾳ ἡ εἰρήνη ἐγένετο· [37] ὥσπερ δὲ ταῦτα ἴσμεν, κἀκεῖνα ἴσμεν, τίνι μηνὶ καὶ τίνι ἡμέρᾳ Σέρρειον τεῖχος καὶ Ἐργίσκη καὶ Ἱερὸν ὄρος ἑάλω. Οὐ δὴ ἀφανῆ ἐστι τὰ οὕτω πραχθέντα, οὐδὲ κρίσεως δεόμενα, ἀλλὰ πᾶσι 86 γνώριμα πότερος πρότερος ὁ μήν ἐστιν, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο ἢ ἐν ᾧ τὰ χωρία ἑάλω.

NC. 1. νῦν vulg. — νυνὶ S, L. Cf. § 41. — 2. αὐτοῦ φίλοις vulg. ἑαυτοῦ φίλοις S, L. — 4. τιμωρήσεσθε S, L. — εὐεργετήσει S, L[1]. ὑμᾶς εὐεργετήσειν vulg. — 8. Après ἄλλος, la vulgate répète τις. — Pour οὗ, S et L d'abord ουχ. — 13. μόνον S, L. — 15. καὶ τίνι ἡμέρᾳ. Variante : καὶ ποίᾳ ἡμέρᾳ. De même l. 16. — 17. Σέρρειον (σέρριον S et vulg.) τεῖχος. Telle est l'orthographe de ce nom de lieu, à la différence d'un autre lieu, appelé Σέρριον. Cf. *Phil.* III, 15, et Harpocration. — οὐδὲ A[1]. — 18. τὰ S, L[1] seuls. ταῦτα vulg. — 19. πότερος vulgate, et S de première main. πότερον S par correction, L[1]. — ὁ μὴν S, L. μὴν vulg. Vœmel dit à tort qu'en admettant l'article il faut écrire πότερον. Voir Krüger, *Gr. gr.* 50, 11, 24.

de la Phocide, ainsi que des villes béotiennes de Coronée, d'Orchomène et de Corsies.

5-6. Αὐτοῦ γάρ φησιν εἶναι. Cf. § 26. — Ἐν τῇ οἰκουμένῃ, dans les pays habités par les hommes, sur la terre. Reiske et autres entendent « in terra Græcis habitata, » à tort, suivant nous. Cette explication méconnaît l'ironie des mots : ἀλλ' ἄλλη τις χώρα.... φανήσεται.

10. Ὑμῶν ἐχόντων, pendant que vous les occupiez. Il s'agit de quelques petites places fortes sur la côte de Thrace, lesquelles appartenaient au roi Cersoblepte. Attaquées par Philippe, elles étaient secourues par des troupes athéniennes.

13. Ἴσῳ καὶ κοινῷ δικαστηρίῳ, à un tribunal (à un juge) équitable et impartial.

15-20. Τίνι μηνὶ.... ἑάλω. La paix fut acceptée par le peuple d'Athènes le 19 élaphébolion de l'archontat de Thémistocle (cf. *Ambassade*, § 57). Mais Philippe ne la jura entre les mains des ambassadeurs

[38] Φησὶν δὲ καὶ τοὺς αἰχμαλώτους ἡμῶν, ὅσοι ἐν τῷ πολέμῳ ἑάλωσαν, ἀποδεδωκέναι· ὃς τὸν μὲν Καρύστιον, τὸν πρόξενον τῆς ἡμετέρας πόλεως, ὑπὲρ οὗ ὑμεῖς τρεῖς πρέσβεις ἐπέμψατ' ἀπαιτοῦντες, τοῦτον τὸν ἄνδρα ἐκεῖνος οὕτω σφόδρ' ὑμῖν ἐβούλετο χαρίσασθαι, ὥστ' ἀπέκτεινε καὶ οὐδ' ἀναίρεσιν ἔδωκεν, ἵνα ταφῇ.

[39] Περὶ δὲ Χερρονήσου ἅ τ' ἐπιστέλλει πρὸς ὑμᾶς ἄξιόν ἐστιν ἐξετάσαι, ἔτι δὲ καὶ ἃ πράττει, καὶ ταῦτ' εἰδέναι. Τὸν μὲν γὰρ τόπον ἅπαντα τὸν ἔξω Ἀγορᾶς ὡς ἑαυτοῦ ὄντα καὶ ὑμῖν οὐδὲν προσήκοντα δέδωκε καρποῦσθαι Ἀπολλωνίδῃ τῷ Καρδιανῷ. Καίτοι Χερρονήσου οἱ ὅροι εἰσὶν, οὐχ Ἀγορὰ, ἀλλὰ βωμὸς τοῦ Διὸς τοῦ ὁρίου, ὅς ἐστι μεταξὺ Πτελεοῦ καὶ Λευκῆς

NC. 1. ἡμῶν S. ὑμῶν vulg. — 3. πρέσβεις S, L. πρεσβεία; vulg. La première de ces leçons a été avec raison préférée par Vœmel. Il n'est pas probable que les Athéniens aient envoyé trois ambassades pour obtenir la vie d'un homme assez obscur. — 4. ἀπαιτοῦντες τοῦτον S, L. τοῦτον ἀπαιτοῦντες vulg. — 6. [ἵνα ταφῇ] Cobet. — 8. ἐστιν est omis dans L. — 11. ἀλλὰ S, L. ἀλλ' ὁ vulg. — 12. ὁρίου S. ὁρείου vulg. De même p. 261, l. 2.

athéniens que deux mois plus tard (cf. *ib.* § 156), et il prétendit garder les conquêtes qu'il avait faites dans l'intervalle. — Construisez : πότερος ὁ μήν ἐστι πρότερος.

2. Τὸν μὲν Καρύστιον. Cet homme s'appelait-il Carystios, ou était-il citoyen de Carystos en Eubée? On ne le sait: nous n'avons nul autre renseignement sur l'affaire touchée ici. Les Athéniens tenaient à sauver la vie d'un homme qui, sans être leur concitoyen, se trouvait, dans sa patrie, chargé de leurs affaires comme proxène (nous dirions « consul »).

4. Ἐκεῖνος fait double emploi après le relatif ὅς, comme τοῦτον τὸν ἄνδρα après τὸν Καρύστιον. Il est naturel de s'exprimer ainsi quand on veut insister sur un fait : l'accusation en devient plus énergique, plus incisive.

5. Ἀναίρεσιν, l'enlèvement, le transport d'un cadavre (en vue de la sépulture).

7. Περὶ δὲ Χερρονήσου. La Chersonèse de Thrace était une ancienne et précieuse possession des Athéniens : elle leur assurait le passage de l'Hellespont. Cersoblepte de Thrace la leur avait disputée quand Philippe venait de monter sur un trône mal assuré. Les Athéniens se trouvèrent heureux de conclure en 357 un traité dans lequel ils renonçaient à la ville de Cardie, afin de faire reconnaître leurs droits sur le reste de la péninsule. (Cf. *Aristocr.* § 173 et 181.) Mais que fallait-il entendre par le reste de la Chersonèse? Les Athéniens avaient conservé au delà de Cardie une bande de pays plus rapprochée du continent, et particulièrement la ville d'Agora. Notre orateur cherche à prouver au moyen d'une vieille inscription que la Chersonèse, c'est-à-dire le pays légalement soumis à la domination athénienne, s'étend plus loin qu'Agora. Quant à Cardie elle-même, l'orateur ne peut se résigner à l'indépendance d'une ville si importante par sa position (cf. *Aristocr.* § 182) : il semble considérer comme imprescriptibles les droits d'Athènes sur toute la Chersonèse. Dès l'origine, il avait essayé de faire casser le traité, et, malgré l'échec de cette tentative (§ 43), il ne regarde pas la question comme tranchée définitivement : tout ce qu'il accorde, c'est que les titres d'Athènes sont devenus contestables.

9. Τὸν ἔξω Ἀγορᾶς, le pays au delà d'Agora, entre Agora et le continent.

10. Ἀπολλωνίδῃ. Apollonidès de Cardie s'était toujours conduit en ennemi d'Athènes. Voir *Aristocr.* § 183.

ἀκτῆς, οὗ ἡ διωρυχὴ ἔμελλε Χερρονήσου ἔσεσθαι, [40] ὥς γε τὸ ἐπίγραμμα τὸ ἐπὶ τοῦ βωμοῦ τοῦ Διὸς τοῦ ὁρίου δηλοῖ. Ἔστι δὲ τουτί·

Τόνδε καθιδρύσαντο θεῷ περικαλλέα βωμὸν
  Λευκῆς καὶ Πτελεοῦ μέσσον ὅρον θέμενοι
ἐνναέται χώρης σημήϊον· ἀμμορίης δὲ
  αὐτὸς ἄναξ μακάρων ἐστὶ μέσος Κρονίδης.

[41] Ταύτην μέντοι τὴν χώραν, τοσαύτην οὖσαν ὅσην οἱ πολλοὶ ὑμῶν ἴσασιν, ὡς ἑαυτοῦ οὖσαν τὴν μὲν αὐτὸς καρποῦται, τὴν δ' ἄλλοις δωρεὰν δέδωκεν, καὶ ἅπαντα τὰ κτήματα τὰ ὑμέτερα ὑφ' αὑτῷ ποιεῖται. Καὶ οὐ μόνον τὴν ἔξω Ἀγορᾶς χώραν σφετερίζεται, ἀλλὰ καὶ πρὸς Καρδιανούς, οἳ οἰκοῦσιν εἴσω 87
Ἀγορᾶς, ἐπιστέλλει ἐν τῇ νῦν ἐπιστολῇ ὡς δεῖ ὑμᾶς διαδικάζεσθαι, πρὸς Καρδιανοὺς τοὺς κατοικοῦντας ἐν τῇ ὑμετέρᾳ, εἴ

NC. 1. οὗ vulg. ᾗι S seul. οἷ L. — διορυχὴ S, L, A. — 2. τοῦ βωμοῦ. Ces mots sont omis dans S, L, et par Vœmel. — 4. τόνδε.... Les quatre vers manquent dans L, et sont remplacés dans S par le titre : ἐπιγράμματος ἀνάγνωσις. — 6. σημήϊον· ἀμμορίης. Peut-être : σημήϊα· γαμορίης. — 8. τοσαύτην οὖσαν. Ces mots sont omis dans S, L[1]. — 12. εἴσω ou ἔσω plusieurs manuscrits. ἔξω L[1]. ἔξω, avec un σ au-dessus du ξ, S. — 14. Dobree écarte πρὸς Καρδιανούς, Cobet πρὸς Κ.... ὑμετέρᾳ. Cf. la note explicative. — κατοικοῦντας S, L. οἰκοῦντας vulg.

1. Ἡ διωρυχή. Le projet de percer la Chersonèse est aussi rappelé dans la seconde Philippique, § 30.

5. Ὅρον θέμενοι, l'ayant érigé comme limite. Les habitants du pays ont voulu que l'autel de Jupiter Terminal servît de limite. L'orateur suppose qu'il s'agit de la limite de la Chersonèse. Il me semble qu'il force le sens des mots, et qu'on doit entendre la limite des deux territoires de Ptéléos et de Leucé-Acté.

6. Ἀμμορίης. Le sens et l'étymologie de ce mot sont obscurs; cependant on ne saurait le faire venir de ἅμα et de ὅρος. K. F. Hermann (*De Terminis*, p. 15 sq.) croit que ἀμμορία est pour ἀναμορία « répartition ». Vœmel dit que ἀμμορία équivaut à ἀμορία, de même que ἄμμορος est synonyme de ἄμορος. Cette étymologie est irréprochable; mais nous ne sommes pas satisfait de l'explication donnée par le même savant : « neutrorum proprium, ἀμέτοχον, utrisque communis terminus ». Voir *NC*.

7. Μέσος. Tout en conservant le sens local qu'il avait dans le deuxième vers de l'épigramme (Jupiter est en effet placé au milieu des deux territoires), ce mot réveille ici l'idée d'*arbitre*.

8-9. Ὅσην οἱ πολλοὶ ὑμῶν ἴσασιν. La Chersonèse était très-connue des Athéniens. Ils avaient colonisé le pays, ils y envoyaient souvent des expéditions militaires, leurs marchands y passaient continuellement.

9. Τὴν μὲν αὐτὸς καρποῦται. L'orateur s'est donc exprimé inexactement au § 39, en disant que Philippe avait donné à Apollonidès l'usufruit de tout le pays.

10. Ἄλλοις, à autrui, c'est-à-dire à Apollonidès. En grec, le pluriel généralise, et n'implique point une pluralité de personnes.

12. Πρὸς Καρδιανούς. Ces mots, placés en tête de la phrase à cause de l'antithèse, se rattachent à διαδικάζεσθαι, et non à ἐπιστέλλει.

14. Πρὸς Καρδιανούς.... ὑμετέρᾳ. Il

τι πρὸς αὐτοὺς διαφέρεσθε. [42] Διαφέρονται δὲ πρὸς ὑμᾶς, σκέψασθ' εἰ περὶ μικροῦ. Ἑαυτῶν φασι τὴν χώραν οὖσαν οἰκεῖν καὶ οὐχ ὑμετέραν, καὶ τὰ μὲν ὑμέτερα εἶναι ἐγκτήματα ὡς ἐν ἀλλοτρίᾳ, τὰ δὲ ἑαυτῶν κτήμαθ' ὡς ἐν οἰκείᾳ, καὶ ταῦθ' ὑμέτερον πολίτην γράψαι ἐν ψηφίσματι, Κάλλιππον Παιανιέα. [43] Καὶ τοῦτό γ' ἀληθῆ λέγουσιν· ἔγραψε γάρ, καὶ ἐμοῦ γ' αὐτὸν γραψαμένου παρανόμων γραφὴν ὑμεῖς ἀπεψηφίσασθε· τοιγάρτοι ἀμφισβητήσιμον ὑμῖν τὴν χώραν κατεσκεύακεν. Ὁπότε δὲ περὶ τούτου τολμήσετε πρὸς Καρδιανοὺς διαδικάζεσθαι, εἴθ' ὑμετέρα ἐστὶν εἴτ' ἐκείνων ἡ χώρα, διὰ τί οὐ καὶ πρὸς τοὺς ἄλλους Χερρονησίτας τὸ αὐτὸ δίκαιον ἔσται; [44] Καὶ οὕτως ὑβριστικῶς ὑμῖν κέχρηται ὥστε φησίν, ἂν μὴ θέλωσι διαδικάζεσθαι οἱ Καρδιανοί, αὐτὸς ἀναγκάσειν, ὡς ὑμῶν γ' οὐκ ἂν δυναμένων οὐδὲν ἀναγκάσαι Καρδιανοὺς ὑμῖν ποιῆσαι· ἐπειδὴ δ' ὑμεῖς οὐ δύνασθε, αὐτός φησι τοῦτ' ἀναγκάσειν αὐτοὺς ποιῆσαι. Ἆρ' οὐ μεγάλα φαίνεται ὑμᾶς εὐερ-

NC. 1. διαφέρεσθε vulg. διεφέρεσθε S seul. — 3. Après ὑμετέραν, la vulgate ajoute εἶναι. — ἐγκτήματα (mot corrigé) S. ἐγκτήματά φασιν ou ἐ. λέγων vulg. — 6. ἀληθῆ S, L seuls. ἀληθὲς vulg. — 11. ἐστί vulg. — 14. οὐδὲν S. οὐδὲ vulg. — 14-15. ὑμῖν ποιῆσαι S, L seuls. τὰ δίκαια πρὸς ὑμᾶς ποιεῖσθαι (ou ὑμῖν ποιῆσαι τὰ δίκαια) vulg. Nous nous passerions volontiers des mots ὑμῖν ποιῆσαι, « faire pour vous ». Herwerden condamne ἀναγκάσαι (l. 14).... αὐτοὺς ποιῆσαι (l. 16). — 16. φαίνεται ὑμᾶς S, L. ὑμᾶς φαίνεται vulg.

est évident que ces mots ne sont pas tirés de la lettre de Philippe, mais qu'ils forment une parenthèse ajoutée par l'orateur. Si l'orateur dit τοὺς κατοικοῦντας ἐν τῇ ὑμετέρᾳ, il semble qu'il ne fait que répéter sous une autre forme la phrase οἲ οἰκοῦσιν εἴσω Ἀγορᾶς; et cependant il ajoute sous main une assertion très-contestable. Les citoyens de Cardie habitaient au milieu de pays athéniens; mais ils pouvaient soutenir, d'après le dernier traité, qu'ils n'habitaient pas en pays athénien.

3. Ἐγκτήματα. La différence entre ἔγκτημα et κτῆμα est bien expliquée dans le texte.

6. Τοῦτό γ' ἀληθῆ λέγουσιν, en cela ils disent la vérité. Cf. Platon, *Lachès*, p. 186 A: Τοῦτο μὲν ἀληθῆ λέγεις. Hypéride, *Pour Euxénippe*, col. XXVIII : Τοῦτ' εἰ μὲν ὑπελάμβανες ἀληθῆ εἶναι. [Vœmel.]

7. Ἀπεψηφίσασθε, vous l'acquittâtes. Afin de rendre le raisonnement de l'orateur plus spécieux, quelques-uns ont voulu donner à ce verbe le sens de « condamner », que malheureusement il ne peut avoir. Construit avec l'accusatif d'une personne, ἀποψηφίζεσθαι signifie « acquitter », ou bien « exclure par un vote »; avec l'accusatif d'une chose, il veut dire « rejeter par un vote ». Du reste, les conjonctions καί et τοιγάρτοι ne laissent aucun doute sur le sens de ce passage.

9. Τολμήσετε, « *sustinebitis, patiemini*, « de re indigna et fœda. » [G. H. Schæfer.]

15. Ἐπειδὴ δ' ὑμεῖς οὐ δύνασθε. Voilà ce que Philippe veut faire supposer. Le tour positif rend l'assertion plus mordante.

16. Φαίνεται, « il est évident, » diffère de δοκεῖ, « il semble. » Cf. *Philipp.* II, 1, p. 220, l. 4

γετῶν; Καὶ ταύτην τὴν ἐπιστολήν τινες εὖ ἔφασαν γεγράφθαι·
[45] οἳ πολὺ ἂν δικαιότερον ὑφ' ὑμῶν ἢ Φίλιππος μισοῖντο.
Ἐκεῖνος μέν γ' ἑαυτῷ κτώμενος δόξαν καὶ μεγάλ' ἀγαθὰ
ἅπαντα καθ' ὑμῶν πράττει· ὅσοι δ' Ἀθηναῖοι ὄντες μὴ τῇ
πατρίδι, ἀλλὰ Φιλίππῳ εὔνοιαν ἐνδείκνυνται, προσήκει αὐτοὺς
ὑφ' ὑμῶν κακοὺς κακῶς ἀπολωλέναι, εἴπερ ὑμεῖς τὸν ἐγκέ- 88
φαλον ἐν τοῖς κροτάφοις καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπα-
τημένον φορεῖτε.

[46] Ὑπόλοιπόν μοί ἐστιν ἔτι πρὸς ταύτην τὴν ἐπιστολὴν τὴν εὖ ἔχουσαν καὶ τοὺς λόγους τῶν πρέσβεων γράψαι τὴν ἀπόκρισιν, ἣν ἡγοῦμαι δικαίαν τ' εἶναι καὶ συμφέρουσαν ὑμῖν.

NC. 3. μέν γε S, L^1 seuls. μὲν γὰρ vulg. — 4. πάντα A, Y. — 7. Les deux premières syllabes de καταπεπατημένον sont, dans S, écrites sur un endroit gratté. — 10. τὴν εὖ S. εὖ vulg. — 12. ὑμῖν vulg. ἡμῖν S, L^1.

5. Προσήκει αὐτοὺς équivaut ici à τούτους προσήκει.

6. Κακοὺς κακῶς ἀπολωλέναι. Phrase usuelle.

7-8. Καταπεπατημένον, « ita ut conculcatum, i. e. contritum consumptumque « sit. » [Franke.] Quant à la grossièreté de ce passage, voir la *Notice*, p. 248, note 2.

10. Τὴν εὖ ἔχουσαν. L'orateur rappelle ironiquement le dire de ceux qu'il vient de flétrir dans ce qui précède (l. 1). Cette connexion entre les §§ 45 et 46 prouve qu'il ne manque rien au milieu, ni une partie de ce discours, ni (comme supposait Rehdantz) un discours opposé par quelque orateur antimacédonien aux arguments des ambassadeurs de Philippe.

10-11. Γράψαι τὴν ἀπόκρισιν. Si notre conjecture sur la fin du § 1 est fondée, l'orateur annonce qu'il rédigera un projet de réponse plus tard, quand les ambassadeurs auront parlé et qu'un autre orateur les aura réfutés.

ΠΕΡΙ

ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ

NOTICE.

On a vu par les discours qui précèdent que, pendant plusieurs années, Philippe et les Athéniens échangeaient des dépêches, s'adressaient des ambassades, élevaient des réclamations, se renvoyaient des récriminations de plus en plus irritantes. Les rapports étaient extrêmement tendus, et les progrès incessants des armes et de la politique macédoniennes inquiétaient à juste titre les patriotes d'Athènes. Outre que Philippe était toujours maître des Thermopyles, qu'il tenait sous sa dépendance une grande partie de l'île d'Eubée, que, dans le Péloponnèse, plusieurs cités lui étaient entièrement dévouées, il menaçait alors les intérêts d'Athènes sur d'autres points plus éloignés du centre de la Grèce, mais d'une importance capitale.

NC. 1. παρόντα S et L. La variante παρελθόντα offre un sens irréprochable; mais nous n'osons attribuer cette locution à Démosthène. Dobree voulait supprimer παρόντα. Peut-être παρόντ' ἀεὶ πάντ'. — 2. ἀπόλωλεν vulg. ἀπολώλεκεν S, Bekker, Dindorf, Vœmel. Ce dernier défend une leçon suivant nous inadmissible, en prêtant à τὰ παρόντα le sens de τὰ ἀεὶ παρόντα. — 3. πάντων S. ἁπάντων vulg. — κεκράτηκε S et L seuls. κεκράτηκε τῆς πόλεως vulg. — 10. ἀναλωκέναι S et L. — 11. βούλεσθαι vulg. βουλεύεσθαι S et L. — 13. τὰ νῦν S et L. νῦν vulg. — 14-15. δὲ καὶ κατασκευάζεται τοῦτο S et L. δὲ τοῦτο καὶ κατασκευάζεται vulg. — 17. ἅπανθ' S et L. πάνθ' vulg.

1. Τὰ παρόντα πράγμαθ' ἅπαντ' ἀπόλωλεν, l'état actuel de nos affaires est tout à fait misérable. Tel est peut-être le sens de ce passage controversé. Cf. *Phil.* I, § 46 : Τὰ δὲ πράγματ' ἐκ τούτων ἀπόλωλεν. Cf. NC.

5. Προειδὼς ἃ βούλεται πρᾶξαι. Les Athéniens, au contraire, n'ayant point d'initiative et se laissant traîner à la remorque des événements, ne savent jamais d'avance ce qu'ils feront.

6. Ἐφ' οὓς... πάρεστιν. Peinture vive de la rapidité de Philippe, grâce à l'hellénisme qui permet de rapprocher des prépositions qui marquent le mouvement, un verbe qui exprime le mouvement déjà accompli. Voir les notes sur παρ' αὐτὸν ὄντα, *Rhod.* § 7, et sur ἐκεῖσ' εἰσὶν αἱ χεῖρες, *Phil.* I, 40.

7-8. Παρασκευαζόμεθα. Ces préparatifs sont énumérés en détail dans la première Philippique, § 36.

11-12. Ὑστερίζοντας. Cet accusatif s'accorde avec l'infinitif προσοφλισκάνειν, tandis que plus haut le datif ἡμῖν dépendait de συμβαίνει. — Αἰσχύνην προσοφλισκάνειν. Cf. *Phil.* I, 42 : Αἰσχύνην.... ὠφληκότες ἂν ἦμεν, avec la note.

13-14 Καὶ τὰ νῦν.... maintenant aussi (comme dans le temps dont l'orateur vient de faire le tableau) il n'y a du reste (en dehors des motifs véritables) que des mots qu'on vous débite là, λόγοι ταῦτα. Il est vrai que grammaticalement ταῦτα s'accorde avec τἄλλα.

παρὸν πρῶτον, ὃ γίγνεται. [14] Νυνὶ δύναμιν μεγάλην ἐκεῖνος ἔχων ἐν Θρᾴκῃ διατρίβει, καὶ μεταπέμπεται πολλήν, ὥς φασιν οἱ παρόντες, ἀπὸ Μακεδονίας καὶ Θετταλίας. Ἐὰν οὖν περιμείνας τοὺς ἐτησίας ἐπὶ Βυζάντιον ἐλθὼν πολιορκῇ, πρῶτον μὲν οἴεσθε τοὺς Βυζαντίους μενεῖν ἐπὶ τῆς ἀνοίας τῆς αὐτῆς ὥσπερ νῦν, καὶ οὔτε παρακαλέσειν ὑμᾶς οὔτε βοηθεῖν αὐτοῖς ἀξιώσειν; [15] Ἐγὼ μὲν οὐκ οἴομαι, ἀλλὰ καὶ εἴ τισι μᾶλλον ἀπιστοῦσιν ἢ ἡμῖν, καὶ τούτους εἰσφρήσεσθαι μᾶλλον ἢ 'κείνῳ παραδώσειν τὴν πόλιν, ἄν περ μὴ φθάσῃ λαβὼν αὐτούς. Οὐκοῦν ἡμῶν μὲν μὴ δυναμένων ἐνθένδ' ἀναπλεῦσαι, ἐκεῖ δὲ μηδεμιᾶς ὑπαρχούσης ἑτοίμου βοηθείας, οὐδὲν αὐτοὺς ἀπολωλέναι κωλύσει. [16] Νὴ Δία, κακοδαιμονῶσι γὰρ ἄνθρωποι καὶ ὑπερβάλλουσιν ἀνοίᾳ. Πάνυ γε, ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι· συμφέρει γὰρ τῇ πόλει. Καὶ μὴν οὐδ' ἐκεῖνό γε δῆλόν ἐστιν ἡμῖν, ὡς ἐπὶ Χερρόνησον οὐχ ἥξει· ἀλλ' εἴγ' ἐκ τῆς ἐπιστολῆς δεῖ σκοπεῖν ἧς ἔπεμψε πρὸς ὑμᾶς, ἀμυνεῖσθαί φησι τοὺς ἐν Χερρονήσῳ. [17] Ἂν μὲν τοίνυν ᾖ τὸ συνεστηκὸς στράτευμα, καὶ τῇ χώρᾳ βοηθῆσαι δυνήσεται καὶ τῶν ἐκείνου 94
τι κακῶς ποιῆσαι· εἰ δ' ἅπαξ διαλυθήσεται, τί ποιήσομεν, ἂν

NC. 4. παραμείνας S. — 5. μένειν S et L. — τῆς ἀνοίας τῆς αὐτῆς S et L. τῆς αὐτῆς ἀνοίας vulg. — 6. παρακαλέσειν. Cobet et Westermann y substituent, ici et ailleurs, le futur attique παρακαλεῖν. — βοηθήσειν S et L. — 9-10. λαβὼν αὐτός Dobree. — 12. κακοδαιμονοῦσι manuscrits de Démosthène et des rhéteurs qui citent ce passage. κακοδαιμονῶσι Wolf, Lobeck, *ad Phryn.*, p. 79. — 17. ἂν τοίνυν μένῃ Tournier. — συνεστηκὸς τοῦτο vulg. — 19. Avant διαλυθήσεται, la vulgate insère διαφθαρήσεται καί.

3. Οἱ παρόντες équivaut à οἳ παρῆσαν. Ils le disaient à Athènes. Voir la note sur θορυβοῦντες, *Phil.* II, 26.

4. Τοὺς ἐτησίας, Cf. *Phil.* I, § 31.

8. Ἀπιστοῦσιν. Byzance se défiait encore d'Athènes, dont elle avait autrefois subi la domination à titre d'alliée, et contre laquelle elle s'était soulevée dans la guerre Sociale. Mais cette défiance ne tint pas devant la crainte des armes macédoniennes : les prévisions de Démosthène ne tardèrent pas à se réaliser. — Εἰσφρήσεσθαι équivaut à εἰσάξειν, εἰσδέξεσθαι. [Harpocration.]

10. Μὴ δυναμένων. A cause des Étésies, cf. l. 4.

12. Ἀπολωλέναι, « avoir péri, » est plus expressif que ἀπόλλυσθαι, « périr. » — Νὴ Δία. Objection vivement introduite et aussi vivement réfutée — Κακοδαιμονῶσι γάρ, c'est qu'ils sont possédés du démon, de l'esprit de démence.

13. Ὑπερβάλλουσιν est ici employé intransitivement. Cf. Euripide, *Hippolyte*, v. 924 : Δέδοικα μή σου γλῶσσ' ὑπερβάλῃ κακοῖς.

17-18. Ἂν μὲν τοίνυν ᾖ... στράτευμα, si les troupes rassemblées existent (encore), subsistent. Cf. *Mégalop.* § 10 : Μεσσήνην εἶναι βουλόμενοι. *Phil.* III, 56 : Ὅτ' ἦν ἡ πόλις. — Τῶν ἐκείνου τι κακῶς ποιῆσαι est plus général que τὴν ἐκείνου χώραν κακῶς ποιεῖν, *Olynth.* I, 17.

ἐπὶ Χερρόνησον ἴῃ; « Κρινοῦμεν Διοπείθην νὴ Δία. » Καὶ τί τὰ πράγματ᾽ ἔσται βελτίω; « Ἀλλ᾽ ἐνθένδ᾽ ἂν βοηθήσαιμεν αὐτοί. » Ἂν δ᾽ ὑπὸ τῶν πνευμάτων μὴ δυνώμεθα; « Ἀλλὰ μὰ Δί᾽ οὐχ ἥξει. » Καὶ τίς ἐγγυητής ἐστι τούτου; [18] Ἆρ᾽ ὁρᾶτε καὶ λογίζεσθ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἐπιοῦσαν ὥραν τοῦ ἔτους, εἰς ἣν ἔρημον τινες οἴονται δεῖν τὸν Ἑλλήσποντον ὑμῶν ποιῆσαι καὶ παραδοῦναι Φιλίππῳ; Τί δ᾽, ἂν ἀπελθὼν ἐκ Θρᾴκης καὶ μηδὲ προσελθὼν Χερρονήσῳ μηδὲ Βυζαντίῳ (καὶ γὰρ ταῦτα λογίζεσθε) ἐπὶ Χαλκίδα καὶ Μέγαρ᾽ ἥκῃ τὸν αὐτὸν τρόπον ὅνπερ ἐπ᾽ Ὠρεὸν πρώην, πότερον κρεῖττον ἐνθάδ᾽ αὐτὸν ἀμύνεσθαι καὶ προσελθεῖν τὸν πόλεμον πρὸς τὴν Ἀττικὴν ἐᾶσαι, ἢ κατασκευάζειν ἐκεῖ τιν᾽ ἀσχολίαν αὐτῷ; Ἐγὼ μὲν οἶμαι τοῦτο.

[19] Ταῦτα τοίνυν ἅπαντας εἰδότας καὶ λογιζομένους χρή, οὐ μὰ Δί᾽ οὐχ ἣν Διοπείθης πειρᾶται τῇ πόλει δύναμιν παρασκευάζειν, ταύτην βασκαίνειν καὶ διαλῦσαι πειρᾶσθαι, ἀλλ᾽ ἑτέραν αὐτοὺς προσπαρασκευάζειν καὶ συνευποροῦντας ἐκείνῳ χρημάτων καὶ τἄλλ᾽ οἰκείως συναγωνιζομένους. [20] Εἰ γάρ τις ἔροιτο Φίλιππον, « εἰπέ μοι, πότερ᾽ ἂν βούλοιο τούτους τοὺς στρατιώτας οὓς Διοπείθης νῦν ἔχει, τοὺς ὁποιουστινασοῦν

SC. 2. ἂν βοηθήσαιμεν S et L seuls. βοηθήσομεν vulg. — 3. αὐτοί (ou αὐτόθι) vulg. αὐτοῖς S. αὐτοὶ L. Cf. Ol. I, 2 : Ἐνθένδε βοηθήσετε, avec la note explicative. — 9. γάρ, omis par la première main de S et de L, est supprimé par Vœmel et d'autres. — καὶ S et L seuls. ἢ vulg. — 10. ἐπ᾽ Ὠρεὸν πρώην S et L. πρώην ἐπ᾽ Ὠρεὸν vulg. — 15. οὐ est gratté dans S, ponctué dans L, omis dans les autres mss. — 15-16. παρασκευάζειν S et L. κατασκευάζειν vulg. — διαλῦσαι S et L. διαλύειν vulg.

6-7. Τὴν ἐπιοῦσαν ὥραν τοῦ ἔτους, la saison prochaine. En rapprochant ces mots de περιμεῖναι τοὺς ἐτησίας (§ 14), on voit que Démosthène désigne le solstice d'été, qui est l'époque des Étésies, et non la saison d'hiver. — Εἰς ἥν, « pour laquelle, » diffère de ἐν ᾗ, « dans laquelle. » — Ὑμῶν est le complément de ἔρημον.

9. Χαλκίδα. Ville de l'Eubée, sur l'Euripe, en face d'Aulis. Chalcis était alors la seule cité de l'île d'Eubée où le parti philippiste ne l'eût pas encore emporté sur le parti athénien. — Μέγαρα. En 343, Philippe avait favorisé un coup de main d'un de ses partisans sur Mégare. Cf. *Phil.* III, 17, avec la note.

10. Ὠρεόν. L'importante ville d'Oréos dans l'Eubée fut, en 342, soumise aux partisans de Philippe à l'aide des troupes de Parménion. Voir le récit de ces faits dans la 3e Philippique, § 59 sqq.

17-18. Συνευποροῦντας.... χρημάτων, en l'aidant à se procurer de l'argent. Cf. *Contre Apatourios*, 6 : Τριάκοντα μνᾶς ἐδάνεισα αὐτῷ συνευπορῆσαι. *Olynth.* III, 19 : Τῶν δεόντων εὐπορῆσαι. — Οἰκείως, en amis, en hommes qui ont les mêmes intérêts.

20. Τοὺς ὁποιουστινασοῦν. Démosthène

(οὐδὲν γὰρ ἀντιλέγω) εὐθενεῖν καὶ παρ' Ἀθηναίοις εὐδοξεῖν καὶ πλείους γίγνεσθαι τῆς πόλεως συναγωνιζομένης, ἢ διαβαλλόντων τινῶν καὶ κατηγορούντων διασπασθῆναι καὶ διαφθαρῆναι; » ταῦτ' ἄν, οἶμαι, φήσειεν. Εἶθ' ἃ Φίλιππος ἂν εὔξαιτο τοῖς θεοῖς, ταῦθ' ἡμῶν τινες ἐνθάδε πράττουσιν; Εἶτ' ἔτι ζητεῖτε πόθεν τὰ τῆς πόλεως ἀπόλωλεν ἅπαντα;

[21] Βούλομαι τοίνυν ὑμᾶς μετὰ παρρησίας ἐξετάσαι τὰ παρόντα πράγματα τῇ πόλει, καὶ σκέψασθαι τί ποιοῦμεν αὐτοὶ νῦν καὶ ὅπως χρώμεθ' αὐτοῖς. Ἡμεῖς οὔτε χρήματ' εἰσφέρειν βουλόμεθ' οὔτ' αὐτοὶ στρατεύεσθαι, οὔτε τῶν κοινῶν ἀπέχεσθαι δυνάμεθα, οὔτε τὰς συντάξεις Διοπείθει δίδομεν, οὔθ' ὅσ' ἂν αὐτὸς αὑτῷ πορίσηται ἐπαινοῦμεν, [22] ἀλλὰ βασκαίνομεν καὶ σκοποῦμεν πόθεν, καὶ τί μέλλει ποιεῖν, καὶ πάντα

NC. 1. εὐθενεῖν S de première main. εὐσθενεῖν vulg. — 4. ταῦτ' S et L. τοῦτ' vulg. — 5. ἡμῶν. Var. : ὑμῶν. — 6. ἔτιζητητε S de première main. — 7. Avant ὑμᾶς un manuscrit de Vienne ajoute πρός. Cette conjecture a été admise par Feliciano et beaucoup d'autres éditeurs. Nous aimerions autant, avec le manuscrit d'Urbino, retrancher ὑμᾶς. — 10. στρατεύεσθαι S et L. στρατεύεσθαι τολμῶμεν vulg. — 12-13. ἀλλὰ βασκαίνομεν : mots ajoutés par une main récente à la marge de S et de L.

avoue, sans y insister, les excès commis par les troupes de Diopithe. Cf. § 9.

4-5. Ταῦτ(α), sous-ent. βούλεσθαι ἄν. « Il dirait qu'il aimerait mieux voir les choses se passer de cette dernière façon. » — Ἃ Φίλιππος ἂν εὔξαιτο. C'est ainsi que, dans l'*Iliade* (I, 255), Nestor dit aux princes qui se disputent entre eux : Ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες. — Πράττουσιν, ils le préparent, ils y poussent.

6. Εἶτ(α). La répétition de cette particule, que nous rendons par *et*, marque à la fois l'enchaînement nécessaire des causes et des effets, et l'indignation croissante de l'orateur. [Rehdantz.]

7-8. Ὑμᾶς ἐξετάσαι.... τὰ παρόντα πράγματα τῇ πόλει, vous demander compte de l'état présent des affaires de l'État. Cf. Xénophon, *Cyrop*. VI, II, 35 : Τὰ μὲν οὖν εἰς τροφὴν δέοντα, οἱ ἡγεμόνες τῶν ὁπλοφόρων ἐξετάζετε τοὺς ὑφ' ὑμῖν αὐτοῖς. Toutefois ce passage ne prouve peut-être pas que ἐξετάζειν puisse se construire avec deux accusatifs. La phrase de Platon : Ἐάν τίς σε ταῦτα ἐξετάζῃ (*Gorg*. p. 515 B; cf. *Lachès*, p. 189 D) est encore moins probante. D'un autre côté, les mots μετὰ παρρησίας ne permettent pas de prendre ὑμᾶς pour le sujet de ἐξετάσαι. Voir *NC*.

8. Τί ποιοῦμεν. Après ce qui précède, on s'attendait à τί ποιεῖτε. L'orateur adoucit l'expression de ses reproches [Rehdantz.]

10. Στρατεύεσθαι. Le verbe βουλόμεθ(α) est commun aux deux premiers membres de phrase, lesquels sont intimement unis. — Τῶν κοινῶν ἀπέχεσθαι, nous abstenir des deniers publics, renoncer aux distributions d'argent pour la célébration des fêtes. Démosthène touche en passant à l'abus qu'il a combattu dans la troisième Olynthienne, et qu'il ne tardera pas a abolir.

13. Πόθεν, sous-ent. πορίζεται. D'autres prétendent que πόθεν se rattache à μέλλει ποιεῖν, et ils citent : Ἅμα δεῖ τι ποιεῖν καὶ πόθεν οὐκ ἔχετε (*Aristocr*. § 209). Mais, si les Athéniens accusaient d'avance les projets militaires qu'on prêtait à Diopithe, ils ne faisaient pas de conjectures sur la manière dont il nourrirait son armée : ils savaient que les troupe de Diopithe pillaient pour vivre (§ 9).

τὰ τοιαυτί, οὔτ', ἐπειδήπερ οὕτως ἔχομεν, τὰ ἡμέτερ' αὐτῶν πράττειν ἐθέλομεν, ἀλλ' ἐν μὲν τοῖς λόγοις τοὺς τῆς πόλεως λέγοντας ἄξι' ἐπαινοῦμεν, ἐν δὲ τοῖς ἔργοις τοῖς ἐναντιουμένοις τούτοις συναγωνιζόμεθα. [23] Ὑμεῖς μὲν τοίνυν εἰώθαθ' ἑκάστοτε τὸν παριόντ' ἐρωτᾶν, τί οὖν χρὴ ποιεῖν; Ἐγὼ δ' ὑμᾶς ἐρωτῆσαι βούλομαι, τί οὖν χρὴ λέγειν; Εἰ γὰρ μήτ' εἰσοίσετε, μήτ' αὐτοὶ στρατεύσεσθε, μήτε τῶν κοινῶν ἀφέξεσθε, μήτε τὰς συντάξεις δώσετε, μήθ' ὅσ' ἂν αὐτῷ πορίσηται ἐάσετε, μήτε τὰ ὑμέτερ' αὐτῶν πράττειν ἐθελήσετε, οὐκ ἔχω τί λέγω. Οἱ γὰρ ἤδη τοσαύτην ἐξουσίαν τοῖς αἰτιᾶσθαι καὶ διαβάλλειν βουλομένοις διδόντες, ὥστε καὶ περὶ ὧν ἄν φασι μέλλειν αὐτὸν ποιεῖν, καὶ περὶ τούτων προκατηγορούντων ἀκροᾶσθαι, — τί ἄν τις λέγοι;

[24] Ὅ τι τοίνυν δύναται ταῦτα ποιεῖν, ἐνίους μαθεῖν ὑμῶν δεῖ. Λέξω δὲ μετὰ παρρησίας· καὶ γὰρ οὐδ' ἂν ἄλλως δυναί-
96 μην. Πάντες ὅσοι ποτ' ἐκπεπλεύκασι παρ' ὑμῶν στρατηγοὶ (ἢ 'γὼ πάσχειν ὁτιοῦν τιμῶμαι) καὶ παρὰ Χίων καὶ παρ'

NC. 1. τοιαυτί S et (de première main) L seuls. τοιαῦτα vulg. — 7. στρατεύσεσθε vulg. στρατεύεσθε S, L, A. — 8. δώσετε et αὐτῷ S et L seuls. Διοπείθει δώσετε et αὐτὸ; αὐτῷ vulg. L'orateur revient ici sur ce qu'il a déjà dit au paragraphe précédent : cette répétition est d'autant plus énergique qu'elle est plus rapide. — 9. ἐάσητε S de première main. — ἐθελήσητε S et L. — 10-11. οἱ et διδόντες S et L seuls. εἰ et δίδοτε vulg. Voir la note explicative. — φῶσι Dindorf. — 13. ἀκροᾶσθε S et L. — 15. δὲ est omis dans S et L. δέον, λέξαι μετὰ Blass. — 16. πώποτ' vulg.

1. Οὔτ', ἐπειδήπερ.... ni, ce qui s'accorderait avec cette disposition, nous occuper de nos propres affaires et renoncer à jouer un rôle dans la Grèce. [Schol. et Weckleín.]

4. Τούτοις (c.-à-d. τοῖς λέγουσιν ἄξια τ. π.) dépend de ἐναντιουμένοις.

9. Ἐάσετε : sous-ent. πορίσασθαι.

11-12. Περὶ ὧν ἄν φασι μέλλειν αὐτὸν ποιεῖν, touchant ce qu'ils prétendent qu'il pourrait faire le cas échéant. Ils vont jusqu'à incriminer un avenir conditionnel.

13. Τί ἂν τις λέγοι. La période, commencée par le nominatif οἱ.... διδόντες, tourne court, et se termine d'une manière imprévue. L'anacoluthe fait bien sentir que l'orateur allait qualifier durement la conduite des Athéniens, mais qu'il se ravise à temps. Ajoutez que Démosthène n'a pas voulu jeter cette période dans le même moule que la précédente (Εἰ γὰρ μήτ(ε)... οὐκ ἔχω τί λέγω). La vulgate : Εἰ γὰρ ἤδη.... δίδοτε est plus régulière, mais elle est monotone.

14. Ὅ τι.... δύναται ταῦτα ποιεῖν, ce que cela (cette licence donnée aux accusateurs de Diopithe) est capable de produire. — Ἐνίους.... ὑμῶν. Les hommes naïfs qui ne se rendent pas compte des intentions secrètes des Philippistes.

17. Τιμῶμαι, je me déclare digne de..., je me condamne à.... Terme du barreau athénien. L'accusé reconnu coupable avait le droit d'estimer lui-même (τιμᾶσθαι) la peine ou l'amende qu'il croyait avoir en-

Ἐρυθραίων καὶ παρ' ὧν ἂν ἕκαστοι δύνωνται (τούτων τῶν τὴν Ἀσίαν οἰκούντων λέγω), χρήματα λαμβάνουσιν. [25] Λαμβάνουσι δ' οἱ μὲν ἔχοντες μίαν ἢ δύο ναῦς ἐλάττονα, οἱ δὲ μείζω δύναμιν πλείονα. Καὶ διδόασιν οἱ διδόντες οὔτε τὰ μικρὰ οὔτε τὰ πολλὰ ἀντ' οὐδενὸς (οὐ γὰρ οὕτω μαίνονται), ἀλλ' ὠνούμενοι μὴ ἀδικεῖσθαι τοὺς παρ' αὑτῶν ἐκπλέοντας ἐμπόρους, μὴ συλᾶσθαι, παραπέμπεσθαι τὰ πλοῖα τὰ αὑτῶν, τὰ τοιαῦτα· φασὶ δ' εὐνοίας διδόναι, καὶ τοῦτο τοὔνομ' ἔχει τὰ λήμματα ταῦτα. [26] Καὶ δὴ καὶ νῦν τῷ Διοπείθει στράτευμ' ἔχοντι σαφῶς ἐστι τοῦτο δῆλον ὅτι δώσουσι χρήματα πάντες οὗτοι. Πόθεν γὰρ οἴεσθ' ἄλλοθεν τὸν μήτε λαβόντα παρ' ὑμῶν μηδὲν μήτ' αὐτὸν ἔχονθ' ὁπόθεν μισθοδοτήσει, στρατιώτας τρέφειν; Ἐκ τοῦ οὐρανοῦ; Οὐκ ἔστι ταῦτα, ἀλλ' ἀφ' ὧν ἀγείρει καὶ προσαιτεῖ καὶ δανείζεται, ἀπὸ τούτων διάγει. [27] Οὐδὲν οὖν ἄλλο ποιοῦσιν οἱ κατηγοροῦντες ἐν ὑμῖν ἢ προλέγουσιν ἅπασι μηδ' ὁτιοῦν ἐκείνῳ διδόναι, ὡς καὶ τοῦ μελλῆσαι δώσοντι δίκην, μή τι ποιήσαντί γ' ἢ καταπραξαμένῳ. Τοῦτ' εἰσὶν οἱ

NC. 7. μὴ συλᾶσθαι S et L. μηδὲ συλᾶσθαι vulg. De même, quelques manuscrits insèrent δέ ou τε après παραπέμπεσθαι. — 8. εὐνοίας S et L. εὐνοίᾳ vulg. — 17. καταπραξαμένῳ. L'ancienne vulgate συγκαταπραξαμένῳ se trouve dans A.

ιourue (ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι). Cf. *Phil.* I, 29 : Ἐγὼ πάσχειν ὁτιοῦν ἕτοιμος.

1. Ἐρυθραίων. La ville d'Érythræ était située sur la côte de l'Asie Mineure, en face de l'île de Chios.

4-5. Καὶ διδόασιν.... ἀντ' οὐδενός. Bonhomie malicieuse, comme dans tout ce morceau.

7. Τὰ τοιαῦτα équivaut à καὶ τἆλλα τὰ τοιαῦτα. Cf. *Olynth.* I, 9 : Πύδνα.... Παγασαί, τἆλλα.

8. Εὐνοίας, des marques de bon vouloir, des gratifications. Terme honnête, qui servait à voiler ces extorsions. Quant au pluriel, cf. φιλανθρωπίας, § 70.

9-10. Τῷ Διοπείθει. Ce datif dépend de δώσουσι. — Σαφῶς.... δῆλον, il est de toute évidence.

11. Τὸν μήτε λαβόντα, un homme qui ne reçoit. Sans article, ce serait : « lui qui ne reçoit. »

13. Ἐκ τοῦ οὐρανοῦ, de l'air du ciel.

14. Προσαιτεῖ, il mendie. Diopithe mendiait à la façon des brigands, qui ont soin de laisser voir le bout de leur fusil. Démosthène s'exprime le plus honnêtement du monde. Reiske cite à ce sujet l'observation de Syrianus, *ad Hermog.* (IV, p. 507, Walz) : Οὕτω καὶ Δημοσθένης τῶν ἐγκλημάτων τὰ μέγιστα μετριωτέροις ὀνόμασι συνεσκίασε, περὶ τοῦ Διοπείθους λέγων η' τῶν Φιλιππικῶν, τὸ μὲν λῃστεύειν « ἀγείρειν » προσειπών, τὸ δὲ ἁρπάζειν « προσαιτεῖν καὶ δανείζεσθαι. » — Διάγει, il subsiste. La locution complète serait διάγει τὸν βίον.

15. Προλέγουσιν est ici *prædicant* plutôt que *prædicunt*.

16-17. Τοῦ μελλῆσαι, sous-ent. ποιεῖν τι. — Μή τι, *nedum*. Cf. *Olynth.* II, 23. — Καταπραξαμένῳ, ayant réussi à se procurer. — Τοῦτ' εἰσὶν οἱ λόγοι, voilà ce que sont en réalité, voilà où aboutissent, les discours.

λόγοι· « μέλλει πολιορκεῖν », « τοὺς Ἕλληνας ἐκδίδωσιν. » Μέλει γάρ τινι τούτων τῶν τὴν Ἀσίαν οἰκούντων Ἑλλήνων· ἀμείνους μεντἂν εἶεν τῶν ἄλλων ἢ τῆς πατρίδος κήδεσθαι. [28] Καὶ τό γ' εἰς τὸν Ἑλλήσποντον εἰσπέμπειν ἕτερον στρατηγὸν τοῦτ' ἐστίν. Εἰ γὰρ δεινὰ ποιεῖ Διοπείθης καὶ κατάγει τὰ πλοῖα, μικρόν, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν πινάκιον ταῦτα
97 πάντα κωλῦσαι δύναιτ' ἄν, καὶ λέγουσιν οἱ νόμοι, ταῦτα τοὺς ἀδικοῦντας εἰσαγγέλλειν, οὐ μὰ Δία δαπάναις καὶ τριήρεσι τοσαύταις ἡμᾶς αὐτοὺς φυλάττειν, ἐπεὶ τοῦτό γ' ἐστὶν ὑπερβολὴ μανίας· [29] ἀλλ' ἐπὶ μὲν τοὺς ἐχθρούς, οὓς οὐκ ἔστι λαβεῖν ὑπὸ τοῖς νόμοις, καὶ στρατιώτας τρέφειν καὶ τριήρεις ἐκπέμπειν καὶ χρήματ' εἰσφέρειν δεῖ καὶ ἀναγκαῖόν ἐστιν, ἐπὶ

NC. 2. Ἑλλήνων. Plusieurs éditeurs mettent ici un signe d'interrogation. « Sine interrogatione ironia est acrior. » [Vœmel.] — 4. εἰσπέμπειν S et (de première main) L. ἐκπέμπειν vulg. Cf. l. 12. — 7. οἱ νόμοι, ταῦτα τούς. Plusieurs préfèrent la ponctuation : οἱ νόμοι ταῦτα, τούς. — 8. οὐ μὰ Δία. Variante : οὐ μὰ Δί' οὐ.

1-2. Πολιορκεῖν. L'absence de tout régime rend l'accusation encore plus vague. — Μέλει, après μέλλει, était considéré par beaucoup de critiques anciens comme une paronomase piquante et recherchée par Démosthène. Hermogène, qui rapporte cette opinion (t. III, p. 326 sq. W.), a le bon goût de ne pas la partager. Tibérius (*De figuris*, c. 27) l'adopte. — Τινι τούτων, *quibusdam istorum*. Ces mots sont dits d'un ton de mépris.

3. Μεντἂν (crase pour μέντοι ἄν) εἶεν, en effet ils pourraient être. Démosthène dit : « Ces gens portent donc tant d'intérêt à des peuples établis dans une autre partie du monde? Je le veux bien. Il se peut qu'ils aient plus de cœur pour les maux d'autrui que pour ceux de la patrie. »

4-5. Εἰσπέμπειν ἕτερον στρατηγόν. Cet autre général que quelques-uns proposaient d'envoyer dans la Chersonèse, devait évidemment observer Diopithe et l'empêcher de commettre des excès. — Τοῦτ' ἐστίν, a aussi cette portée (à savoir de déconsidérer Diopithe et d'entraver ses opérations). Ces mots se réfèrent à τοῦτ' εἰσὶν οἱ λόγοι, § 27. L'idée « d'aussi, également » est renfermée dans καί au commencement de la phrase.

6. Μικρὸν πινάκιον, une petite tablette. La suite de la période semble indiquer qu'il s'agit de l'acte d'accusation, plutôt que de la lettre de rappel. Harpocration (art. πινάκια) dit fort bien : τυχὸν πινάκιον λέγει εἰς ὃ ἐγγράφεται τὰ κατὰ τῶν εἰσαγγελλομένων.

7-8. Ταῦτα, régime de ἀδικοῦντας, est mis en évidence en tête du membre de phrase. — Εἰσαγγέλλειν. Les délits graves et extraordinaires, dont la répression n'admettait point de délai, étaient déférés au sénat et au peuple. Cette espèce de plainte s'appelait εἰσαγγελία. Voir Harpocration; Hypéride, *Pour Euxénippe*, col. XXII; Schœmann, *Ant. jur. publ. gr.*, p. 231. Perrot, *Le droit public d'Ath.* p. 321.

9-10. Ὑπερβολὴ μανίας. Nous sommes disposé à croire que Démosthène exagère quelque peu. Comme Diopithe défendait les intérêts des colons, il était sans doute soutenu par eux, et il n'était peut-être pas tout à fait insensé de penser qu'il n'obéirait pas à une simple citation.

11. Λαβεῖν ὑπὸ τοῖς νόμοις équivaut à λαβεῖν ὥστε εἶναι ὑπὸ τοῖς νόμοις. Cf. Lycurgue, *Contre Léocrate*, 2 : Ἔχειν ὑπὸ τῇ ψήφῳ. [Franke.]

12. Δεῖ καὶ ἀναγκαῖόν ἐστι, il faut (il convient) et il est nécessaire.

δ' ὑμᾶς αὐτοὺς ψήφισμα, εἰσαγγελία, πάραλος, ταῦτ' ἐστίν. Ταῦτ' ἦν εὖ φρονούντων ἀνθρώπων, ἐπηρεαζόντων δὲ καὶ διαφθειρόντων τὰ πράγματα, ἃ νῦν οὗτοι ποιοῦσιν.

[30] Καὶ τὸ μὲν τούτων τινὰς εἶναι τοιούτους, δεινὸν ὂν οὐ δεινόν ἐστιν· ἀλλ' ὑμεῖς οἱ καθήμενοι οὕτως ἤδη διάκεισθε, ὥστ', ἂν μέν τις εἴπῃ παρελθὼν ὅτι Διοπείθης ἐστὶ τῶν κακῶν πάντων αἴτιος ἢ Χάρης ἢ Ἀριστοφῶν ἢ ὃν ἂν τῶν πολιτῶν εἴπῃ τις, εὐθέως φατὲ καὶ θορυβεῖθ' ὡς ὀρθῶς λέγει· [31] ἂν δὲ παρελθὼν λέγῃ τις τἀληθῆ, ὅτι « ληρεῖτ', Ἀθη- « ναῖοι· πάντων τῶν κακῶν καὶ τῶν πραγμάτων τούτων Φί- « λιππός ἐστ' αἴτιος· εἰ γὰρ ἐκεῖνος ἦγεν ἡσυχίαν, οὐδὲν ἂν « ἦν πρᾶγμα τῇ πόλει », ὡς μὲν οὐκ ἀληθῆ ταῦτ' ἐστὶν οὐχ ἕξετ' ἀντιλέγειν, ἄχθεσθαι δέ μοι δοκεῖτε καὶ ὥσπερ ἀπολλύναι

NC. 1. Après ταῦτ' ἐστίν les manuscrits (sauf S et L) ajoutent la glose ἱκανά. Vœmel met le point avant ταῦτ' ἐστίν. — 6-7. τῶν κακῶν πάντων S et L. πάντων τῶν κακῶν vulg. — 7-8. τῶν πολιτῶν εἴπῃ τις S et L. εἴπῃ τις τῶν πολιτῶν vulg. — 9-10. Ἀθηναῖοι S et (de première main) L seuls. ὦ ἄνδρες Ἀθηναῖοι vulg. — 11. ἐστ' S. La vulgate ἐστιν fait un dimètre ïambique. — 12-13. οὐχ ἕξετε S. οὐκ ἔχετε vulg.

1. Ψήφισμα est le décret du peuple rendu par suite de l'εἰσαγγελία. L'orateur ne s'astreint pas à l'ordre des temps. — Πάραλος, le vaisseau public chargé d'amener l'accusé. Cf. *Phil.* I, 34, avec la note. Thucydide, VI, 53. — Ταῦτ' ἐστίν, voilà ce qu'il y a, voilà les moyens de répression dont nous disposons. Ces mots sont suivis de la répétition expressive : ταῦτ' ἦν, « voilà ce qui eût été. »

2. Ἐπηρεαζόντων, d'hommes malfaisants par envie. Cf. Aristote, *Rhétor.* II, 2 : Ἔστι γὰρ ὁ ἐπηρεασμὸς ἐμποδισμὸς ταῖς βουλήσεσιν, οὐχ ἵνα τι αὐτῷ (sousent. γένηται), ἀλλ' ἵνα μὴ ἐκείνῳ. [Rehdantz.]

4-5. Δεινὸν ὂν οὐ δεινόν ἐστιν, ce fait, tout grave qu'il est, n'est pas grave (au prix de cet autre fait), c'est-à-dire n'est pas ce qu'il y a de plus grave. La tournure grecque, en apparence contradictoire, offre une alliance de mots frappante. On cite *Phil.* III, 55 : Καὶ οὐχί πω τοῦτο δεινὸν, καίπερ ὂν δεινόν· ἀλλά.... *Midienne*, 72 : Οὐδὲ τὸ τύπτεσθαι τοῖς ἐλευθέροις ἐστὶ δεινὸν, καίπερ ὂν δεινὸν, ἀλλὰ τὸ ἐφ' ὕβρει. *Aristocrate*, 163 : Οὐ τοίνυν ἐκ τούτων πω δῆλόν ἐσθ', οὕτω σαφῶς δῆλον ὄν..., ἀλλ' ἐκ τῶν μετὰ ταῦτα συμβάντων ἔσται φανερώτερον.

5. Οἱ καθήμενοι, le peuple assis sur les bancs, par opposition aux orateurs qui montent à la tribune.

7. Ἀριστοφῶν. Aristophon d'Azénie joua un rôle politique dès le rétablissement de la république en 403. Quoique arrivé à un grand âge, et toujours sur la brèche, il ne peut guère avoir été du nombre de ceux qui dirigeaient les affaires en 341. Il faut donc se reporter aux fautes commises à l'origine de la guerre d'Amphipolis et des rapports entre Philippe et les Athéniens. Voir A. Schæfer, I, p. 162, 3.

8. Θορυβεῖθ' ὡς ὀρθῶς λέγει. Cf. *Phil.* II, 26.

9. Ὅτι, « à savoir que, » annonce aussi des citations en style direct.

13. Ἀντιλέγειν, contester. Nous dirions « soutenir » (λέγειν). L'accumulation des négations se fortifiant les unes les autres est particulière à la langue grecque. — Ἀπολλύναι. Ils perdent une illusion douce à leur paresse, et le plaisir d'avoir sous la main l'objet de leur colère.

τι νομίζειν. [32] Αἴτιον δὲ τούτων (καί μοι πρὸς θεῶν, ὅταν εἵνεκα τοῦ βελτίστου λέγω, ἔστω παρρησία)· παρεσκευάκασιν ὑμᾶς τῶν πολιτευομένων ἔνιοι ἐν μὲν ταῖς ἐκκλησίαις φοβεροὺς καὶ χαλεποὺς, ἐν δὲ ταῖς παρασκευαῖς ταῖς τοῦ πολέμου ῥαθύμους καὶ εὐκαταφρονήτους. Ἂν μὲν οὖν τὸν αἴτιον εἴπῃ τις ὃν ἴσθ' ὅτι λήψεσθε παρ' ὑμῖν αὐτοῖς, φατὲ καὶ βούλεσθε· ἂν
98 δὲ τοιοῦτον λέγῃ τις, ὃν κρατήσαντας τοῖς ὅπλοις, ἄλλως δ' οὐκ ἔστι κολάσαι, οὐκ ἔχετ', οἶμαι, τί ποιήσετε, ἐξελεγχόμενοι δ' ἄχθεσθε. [33] Ἐχρῆν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοὐναντίον ἢ νῦν, ἅπαντας τοὺς πολιτευομένους ἐν μὲν ταῖς ἐκκλησίαις πράους καὶ φιλανθρώπους ὑμᾶς ἐθίζειν εἶναι (πρὸς γὰρ ὑμᾶς αὐτοὺς καὶ τοὺς συμμάχους ἐν ταύταις ἐστὶ τὰ δίκαια), ἐν δὲ ταῖς παρασκευαῖς ταῖς τοῦ πολέμου φοβεροὺς καὶ χαλεποὺς ἐπιδεικνύναι· πρὸς γὰρ τοὺς ἐχθροὺς καὶ τοὺς ἀντιπάλους ἐκεῖνός ἐσθ' ἀγών. [34] Νῦν δὲ δημαγωγοῦντες ὑμᾶς καὶ χαριζόμενοι καθ' ὑπερβολὴν οὕτω διατεθείκασιν, ὥστ' ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούοντας, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν. Φέρε γὰρ πρὸς Διὸς, εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νυνὶ παρείκατε και-

NC. 2. ἕνεκα mss. — 3. ὑμᾶς S, L seuls. ὑμᾶς ἐκ πολλοῦ vulg. — 9. ἐχρῆν δὲ vulg — 13. ταῖς, après ταῖς παρασκευαῖς, est omis dans S et L seuls. Cf. l. 14. — 14. Pour ἐπιδεικνύναι (montrer), il faut peut-être écrire, avec Wolf, ἀποδεικνύναι (rendre). — 15. ἐκεῖνος S et L seuls. ἐν ἐκείναις vulg. — 16-17. ἐν μὲν ταῖς vulg. ἐν ταῖς S et L seuls. Cf. l. 10. — 20. παρείκατε plusieurs manuscrits. παρήκατε S, L, et vulg.

2. Ἕνεκα τοῦ βελτίστου, pour votre plus grand bien.

6. Φατέ, vous dites oui, vous en tombez d'accord (cf. § 30 à la fin). — Καὶ βούλεσθε, et vous voulez, vous avez la volonté d'agir.

8. Ἐξελεγχόμενοι, sous-ent. ὅτι οὐκ ἔχετε τί ποιήσετε.

9-10. Ἐχρῆν γάρ, c'est qu'il faudrait. — Τοὐναντίον ἢ νῦν, au rebours de ce qui se fait à présent. La construction est appositive : « chose contraire à votre conduite actuelle. »

12-13. Τὰ δίκαια, « la discussion du droit, » est opposé à ἀγών (ὁ ἀγών) dans la phrase antithétique.

15. Ὑμᾶς doit être construit avec διατεθείκασιν, verbe qui a besoin d'un régime. Il est vrai que δημαγωγοῦντες pourrait gouverner un accusatif; mais ce participe est ici employé d'une manière absolue, comme χαριζόμενοι.

17-18. Πάντα πρὸς ἡδονὴν ἀκούοντας, n'entendant dire que ce qui vous plaît. La locution πρὸς ἡδονὴν ἀκούειν est parallèle à πρὸς ἡδονὴν λέγειν, comme κακῶς ἀκούειν, « être injurié » (cf. *Ambass.* § 314) répond à κακῶς λέγειν, « injurier. »

18. Ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις, mais dans les affaires et dans les faits réels.

ρῶν διὰ ῥᾳθυμίαν, καὶ ἔροινθ' ὑμᾶς· [35] « Ἄνδρες Ἀθηναῖοι, « πέμπεθ' ὡς ἡμᾶς ἑκάστοτε πρέσβεις, καὶ λέγεθ' ὡς ἐπιβου- « λεύει Φίλιππος ἡμῖν καὶ πᾶσι τοῖς Ἕλλησιν, καὶ ὡς φυλάτ- « τεσθαι δεῖ τὸν ἄνθρωπον, καὶ πάντα τὰ τοιαυτί, » ἀνάγκη φάσκειν καὶ ὁμολογεῖν· ποιοῦμεν γὰρ ταῦτα. « Εἶτ', ὦ πάν- « των ἀνθρώπων φαυλότατοι, δέκα μῆνας ἀπογενομένου τἀν- « θρώπου καὶ νόσῳ καὶ χειμῶνι καὶ πολέμοις ἀποληφθέντος « ὥστε μὴ ἂν δύνασθαι ἐπανελθεῖν οἴκαδε, [36] οὔτε τὴν « Εὔβοιαν ἠλευθερώσατε, οὔτε τῶν ὑμετέρων αὐτῶν οὐδὲν « ἐκομίσασθε, ἀλλ' ἐκεῖνος μὲν ὑμῶν οἴκοι μενόντων, σχολὴν « ἀγόντων, ὑγιαινόντων » (εἰ δὴ τοὺς τὰ τοιαῦτα ποιοῦντας ὑγιαίνειν φήσαιεν), « δύο ἐν Εὐβοίᾳ κατέστησε τυράννους, τὸν 99 « μὲν ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπιτειχίσας, τὸν δ' ἐπὶ Σκίαθον, « [37] ὑμεῖς δ' οὐδὲ ταῦτ' ἀπελύσασθε, εἰ μηδὲν ἄλλ' ἐβούλε- « σθε, ἀλλ' εἰάκατε· ἀφέστατε δῆλον ὅτι αὐτῷ, καὶ φανερὸν

NC. 1. Avant ἄνδρες, la vulgate ajoute ὦ. — 3. πᾶσι S, L, A. ἅπασι vulg. — 4. πάντα S, L, A. ἅπαντα vulg. — τοιαυτί S et L seuls. τοιαῦτα vulg. — 7. ἀπολειφθέντος S, L et la plupart des manuscrits. — 8. μὴ δύνασθαι ἂν Benseler. — 11-12. εἰ δὴ.... φήσαιεν S et L seuls. εἰ δεῖ.... φῆσαι vulg. — 13. σκίαθον S et L. Σκιάθῳ vulg. — 15. εἴακατε· ἄφεστατε S et L seuls. εἰάκατε καὶ ἀφέστατε vulg. ἀφέστατε Cobet.

2. Πέμπεθ' ὡς ἡμᾶς.... Ces ambassades sont rappelées dans les discours précédents : cf. *Phil.* II, 19 ; *Halon.* 33.

6. Δέκα μῆνας ἀπογενομένου. Il s'agit de la campagne de Thrace, entreprise par Philippe depuis plus de dix mois. Cf. § 2 et § 44. Une autre campagne que le roi de Macédoine fit dans le même pays plusieurs années auparavant, et pendant laquelle il tomba également malade, a donné lieu au beau mouvement oratoire de la première Philippique, § 10 sq.

8. Μὴ ἂν δύνασθαι. Philippe n'eût pu revenir (quand même quelque entreprise des Athéniens aurait exigé son retour).

11-12. Εἰ δὴ (si tant est que).... ὑγιαίνειν φήσαιεν. Le grec ὑγιαίνειν, comme le latin *sanum esse*, désigne la santé de l'esprit, le bon sens, aussi bien que celle du corps : cf. *Phil.* III, 20. L'orateur joue amèrement sur ce double sens.

12-13. Τὸν μὲν.... ἐπὶ Σκίαθον. Cf. *Phil.* III, 57 sq. *Couronne*, 71. Clitarque commandait à Érétrie, ville dont le territoire, situé dans la partie méridionale de l'Eubée, se trouvait en face de l'Attique. Philistide était tyran d'Oréos, à l'extrémité nord de l'Eubée, en regard de l'île de Sciathos, possession des Athéniens. Toutes dévouées à Philippe, grâce à leurs tyrans et à des garnisons macédoniennes, ces deux villes étaient en quelque sorte des ouvrages avancés qui menaçaient Athènes. Cf. § 66 : Κατασκευάζοντος ὑμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν. *Phil.* I, 5 : Ἀθηναίοις ἔχουσι τοσαῦτ' ἐπιτειχίσματα τῆς αὐτοῦ χώρας. Ici l'orateur se sert d'un tour plus hardi, en désignant les tyrans eux-mêmes, ou plutôt l'institution des tyrans, comme des ἐπιτειχίσματα.

14. Οὐδὲ ταῦτ' ἀπελύσασθε, vous ne vous êtes pas même délivrés de ces entraves. Cf. Platon, *Apologie*, p. 37 B : Διαβολὰς ἀπολύεσθαι.

15. Ἀφέστατε.... αὐτῷ, *cessistis ei*, vous vous êtes retirés devant lui, vous lui avez abandonné la place, le rang que vous occupiez autrefois. Cf. *Couronne*, § 200 :

τι νομίζειν. [32] Αἴτιον δὲ τούτων (καί μοι πρὸς θεῶν, ὅταν εἵνεκα τοῦ βελτίστου λέγω, ἔστω παρρησία) · παρεσκευάκασιν ὑμᾶς τῶν πολιτευομένων ἔνιοι ἐν μὲν ταῖς ἐκκλησίαις φοβεροὺς καὶ χαλεποὺς, ἐν δὲ ταῖς παρασκευαῖς ταῖς τοῦ πολέμου ῥᾳθύμους καὶ εὐκαταφρονήτους. Ἂν μὲν οὖν τὸν αἴτιον εἴπῃ τις ὃν ἴσθ' ὅτι λήψεσθε παρ' ὑμῖν αὐτοῖς, φατὲ καὶ βούλεσθε · ἂν
98 δὲ τοιοῦτον λέγῃ τις, ὃν κρατήσαντας τοῖς ὅπλοις, ἄλλως δ' οὐκ ἔστι κολάσαι, οὐκ ἔχετ', οἶμαι, τί ποιήσετε, ἐξελεγχόμενοι δ' ἄχθεσθε. [33] Ἐχρῆν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοὐναντίον ἢ νῦν, ἅπαντας τοὺς πολιτευομένους ἐν μὲν ταῖς ἐκκλησίαις πράους καὶ φιλανθρώπους ὑμᾶς ἐθίζειν εἶναι (πρὸς γὰρ ὑμᾶς αὐτοὺς καὶ τοὺς συμμάχους ἐν ταύταις ἐστὶ τὰ δίκαια), ἐν δὲ ταῖς παρασκευαῖς ταῖς τοῦ πολέμου φοβεροὺς καὶ χαλεποὺς ἐπιδεικνύναι · πρὸς γὰρ τοὺς ἐχθροὺς καὶ τοὺς ἀντιπάλους ἐκεῖνός ἐσθ' ἀγών. [34] Νῦν δὲ δημαγωγοῦντες ὑμᾶς καὶ χαριζόμενοι καθ' ὑπερβολὴν οὕτω διατεθείκασιν, ὥστ' ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούοντας, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν. .Φέρε γὰρ πρὸς Διός, εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νυνὶ παρείκατε και-

NC. 2. ἕνεκα mss. — 3. ὑμᾶς S, L seuls. ὑμᾶς ἐκ πολλοῦ vulg. — 9. ἐχρῆν δὲ vulg — 13. ταῖς, après ταῖς παρασκευαῖς, est omis dans S et L seuls. Cf. l. 14. — 14. Pour ἐπιδεικνύναι (montrer), il faut peut-être écrire, avec Wolf, ἀποδεικνύναι (rendre). — 15. ἐκεῖνος S et L seuls. ἐν ἐκείναις vulg. — 16-17. ἐν μὲν ταῖς vulg. ἐν ταῖς S et L seuls. Cf. l. 10. — 20. παρείκατε plusieurs manuscrits. παρήκατε S, L, et vulg.

2. Ἕνεκα τοῦ βελτίστου, pour votre plus grand bien.

6. Φατέ, vous dites oui, vous en tombez d'accord (cf. § 30 à la fin). — Καὶ βούλεσθε, et vous voulez, vous avez la volonté d'agir.

8. Ἐξελεγχόμενοι, sous-ent. ὅτι οὐκ ἔχετε τί ποιήσετε.

9-10. Ἐχρῆν γάρ, c'est qu'il faudrait. — Τοὐναντίον ἢ νῦν, au rebours de ce qui se fait à présent. La construction est appositive : « chose contraire à votre conduite actuelle. »

12-13. Τὰ δίκαια, « la discussion du droit, » est opposé à ἀγών (ὁ ἀγών) dans la phrase antithétique.

15. Ὑμᾶς doit être construit avec διατεθείκασιν, verbe qui a besoin d'un régime. Il est vrai que δημαγωγοῦντες pourrait gouverner un accusatif; mais ce participe est ici employé d'une manière absolue, comme χαριζόμενοι.

17-18. Πάντα πρὸς ἡδονὴν ἀκούοντας, n'entendant dire que ce qui vous plaît. La locution πρὸς ἡδονὴν ἀκούειν est parallèle à πρὸς ἡδονὴν λέγειν, comme κακῶς ἀκούειν, « être injurié » (cf. *Ambass.* § 314) répond à κακῶς λέγειν, « injurier. »

18. Ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις, mais dans les affaires et dans les faits réels.

ρῶν διὰ ῥᾳθυμίαν, καὶ ἔροινθ' ὑμᾶς· [35] « Ἄνδρες Ἀθηναῖοι, « πέμπεθ' ὡς ἡμᾶς ἑκάστοτε πρέσβεις, καὶ λέγεθ' ὡς ἐπιβου- « λεύει Φίλιππος ἡμῖν καὶ πᾶσι τοῖς Ἕλλησιν, καὶ ὡς φυλάτ- « τεσθαι δεῖ τὸν ἄνθρωπον, καὶ πάντα τὰ τοιαυτί, » ἀνάγκη φάσκειν καὶ ὁμολογεῖν· ποιοῦμεν γὰρ ταῦτα. « Εἶτ', ὦ πάν- « των ἀνθρώπων φαυλότατοι, δέκα μῆνας ἀπογενομένου τἀν- « θρώπου καὶ νόσῳ καὶ χειμῶνι καὶ πολέμοις ἀποληφθέντος « ὥστε μὴ ἂν δύνασθαι ἐπανελθεῖν οἴκαδε, [36] οὔτε τὴν « Εὔβοιαν ἠλευθερώσατε, οὔτε τῶν ὑμετέρων αὐτῶν οὐδὲν « ἐκομίσασθε, ἀλλ' ἐκεῖνος μὲν ὑμῶν οἴκοι μενόντων, σχολὴν « ἀγόντων, ὑγιαινόντων » (εἰ δὴ τοὺς τὰ τοιαῦτα ποιοῦντας ὑγιαίνειν φήσαιεν), « δύο ἐν Εὐβοίᾳ κατέστησε τυράννους, τὸν 99 « μὲν ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπιτειχίσας, τὸν δ' ἐπὶ Σκίαθον, « [37] ὑμεῖς δ' οὐδὲ ταῦτ' ἀπελύσασθε, εἰ μηδὲν ἄλλ' ἐβούλε- « σθε, ἀλλ' εἰάκατε· ἀφέστατε δῆλον ὅτι αὐτῷ, καὶ φανερὸν

NC. 1. Avant ἄνδρες, la vulgate ajoute ὦ. — 3. πᾶσι S, L, A. ἅπασι vulg. — 4. πάντα S, L, A. ἅπαντα vulg. — τοιαυτί S et L seuls. τοιαῦτα vulg. — 7. ἀπολειφθέντος S, L et la plupart des manuscrits. — 8. μὴ δύνασθαι ἂν Benseler. — 11-12. εἰ δὴ.... φήσαιεν S et L seuls. εἰ δεῖ.... φῆσαι vulg. — 13. σκίαθον S et L. Σκιάθῳ vulg. — 15. εἴακατε· ἄφεστατε S et L seuls. εἰάκατε καὶ ἀφέστατε vulg. ἀφέστατε Cobet.

2. Πέμπεθ' ὡς ἡμᾶς.... Ces ambassades sont rappelées dans les discours précédents : cf. *Phil.* II, 19 ; *Halon.* 33.

6. Δέκα μῆνας ἀπογενομένου. Il s'agit de la campagne de Thrace, entreprise par Philippe depuis plus de dix mois. Cf. § 2 et § 44. Une autre campagne que le roi de Macédoine fit dans le même pays plusieurs années auparavant, et pendant laquelle il tomba également malade, a donné lieu au beau mouvement oratoire de la première Philippique, § 10 sq.

8. Μὴ ἂν δύνασθαι. Philippe n'eût pu revenir (quand même quelque entreprise des Athéniens aurait exigé son retour).

11-12. Εἰ δὴ (si tant est que).... ὑγιαίνειν φήσαιεν. Le grec ὑγιαίνειν, comme le latin *sanum esse*, désigne la santé de l'esprit, le bon sens, aussi bien que celle du corps : cf. *Phil.* III, 20. L'orateur joue amèrement sur ce double sens.

12-13. Τὸν μὲν.... ἐπὶ Σκίαθον. Cf. *Phil.* III, 57 sq. *Couronne*, 71. Clitarque commandait à Érétrie, ville dont le territoire, situé dans la partie méridionale de l'Eubée, se trouvait en face de l'Attique. Philistide était tyran d'Oréos, à l'extrémité nord de l'Eubée, en regard de l'île de Sciathos, possession des Athéniens. Toutes dévouées à Philippe, grâce à leurs tyrans et à des garnisons macédoniennes, ces deux villes étaient en quelque sorte des ouvrages avancés qui menaçaient Athènes. Cf. § 66 : Κατασκευάζοντος ὑμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν. *Phil.* I, 5 : Ἀθηναίοις ἔχουσι τοσαῦτ' ἐπιτειχίσματα τῆς αὐτοῦ χώρας. Ici l'orateur se sert d'un tour plus hardi, en désignant les tyrans eux-mêmes, ou plutôt l'institution des tyrans, comme des ἐπιτειχίσματα.

14. Οὐδὲ ταῦτ' ἀπελύσασθε, vous ne vous êtes pas même délivrés de ces entraves. Cf. Platon, *Apologie*, p. 37 B : Διαβολὰς ἀπολύεσθαι.

15. Ἀφέστατε.... αὐτῷ, *cessistis ei*, vous vous êtes retirés devant lui, vous lui avez abandonné la place, le rang que vous occupiez autrefois. Cf. *Couronne*, § 200 :

« πεποιήκατε, ὅτι οὐδ' ἂν δεκάκις ἀποθάνῃ, οὐδὲν μᾶλλον « κινήσεσθε. Τί οὖν πρεσβεύετε καὶ κατηγορεῖτε καὶ πράγμαθ' « ἡμῖν παρέχετε; » Ἂν ταῦτα λέγωσι, τί ἐροῦμεν ἢ τί φήσομεν, Ἀθηναῖοι; Ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ.

[38] Εἰσὶ τοίνυν τινὲς οἳ τότ' ἐξελέγχειν τὸν παριόντ' οἴονται, ἐπειδὰν ἐρωτήσωσι « τί οὖν χρὴ ποιεῖν; » Οἷς ἐγὼ μὲν τὸ δικαιότατον καὶ ἀληθέστατον τοῦτ' ἀποκρινοῦμαι, ταῦτα μὴ ποιεῖν ἃ νυνὶ ποιεῖτε, οὐ μὴν ἀλλὰ καὶ καθ' ἕκαστον ἀκριβῶς ἐρῶ. Καὶ ὅπως, ὥσπερ ἐρωτῶσι προθύμως, οὕτω καὶ ποιεῖν ἐθελήσουσιν. [39] Πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκεν (καὶ παύσασθε περὶ τούτου κατηγοροῦντες ἀλλήλων) καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πόλεως ἐδάφει, [40] προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει πᾶσιν ἀνθρώποις, καὶ τοῖς μάλιστ' οἰομένοις αὐτῷ χαρίζεσθαι (εἰ δὲ μή, σκεψάσθωσαν Εὐθυκράτη καὶ Λασθένη τοὺς Ὀλυνθίους, οἳ δοκοῦντες οἰκειότατ'

NC. 1. μᾶλλον S et L. μᾶλλον ὑμεῖς γε vulg. — 2. πρεσβεύετε. Variante : πρεσβεύεσθε. — 3-4. [ἢ τί φ.] Cobet. — ἀθηναῖοι S, L. ὦ ἄνδρες Ἀθηναῖοι vulg. — 6. ἐρωτήσωσι vulg., et L par correction de la même main. ἐρωτήσῃ S seul, et Vœmel. — 10. ἐθελήσουσιν S et L. ἐθελήσωσι vulg. — 12-13. παύσασθαι A[1], Dobree. — τούτου S et L. τούτων vulg. — 16. σκεψασθ' ὡς ἂν S et L seuls.

Ἀξιοῦσα προεστάναι τῶν ἄλλων, εἶτ' ἀποστᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰτίαν. — Les mots δῆλον ὅτι indiquent assez que l'orateur tire ici la conséquence de ce qui précède : toute particule conjonctive aurait affaibli la puissance du raisonnement. [Rehdantz.]

1. Οὐδ' ἂν δεκάκις ἀποθάνῃ. Cf. *Phil.* I, 12 : passage reproduit ici sous une autre forme, condensé en quelques mots passionnés.

2. Τί οὖν πρεσβεύετε, pourquoi venez-vous en ambassade ? Cela est plus vif que τί οὖν πρεσβεύεσθε, « pourquoi envoyez-vous des ambassades? » Cf. *Mégalop.* § 1, et la note.

3-4. Ἂν.... λέγωσι, s'il arrive qu'ils parlent ainsi. Au § 34, l'orateur avait énoncé la même hypothèse plus vaguement, à l'optatif : Εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν. — Τί ἐροῦμεν ἢ τί φήσομεν ; que dirons-nous, qu'alléguerons-nous? Cf. les synonymes φάσκειν καὶ ὁμολογεῖν, § 35. — Ἀθηναῖοι. Vocatif, et non nominatif, comme veut Vœmel, qui traduit : *nos Athenienses*

6. Τί οὖν χρὴ ποιεῖν; L'orateur a déjà cité cette question banale au § 23. Il la répète, pour y faire une autre réponse, plus positive cette fois-ci.

9-10. Ὅπως ... ἐθελήσουσιν, qu'ils veuillent, qu'ils s'efforcent d'avoir la volonté. Cf. *Phil.* I, 20 : Ὅπως μὴ ποιήσετε.

11. Γνῶναι, comme μὴ ποιεῖν, l. 8, dépend de χρή, l. 6.

14. Τῷ τῆς πόλεως ἐδάφει. Cf. la locution καθελεῖν εἰς ἔδαφος (Thucydide, III, 68, et *passim*). Démosthène croit que Philippe voudrait faire subir à Athènes le sort d'Olynthe. Voir § 60.

16-17. Εἰ δὲ μή : sous-ent. τοῦτο παρ' αὐτοῖς γιγνώσκουσι. — Εὐθυκράτη καὶ Λασθένη. Cf. *Phil.* II, 21, avec la note.

αὐτῷ διακεῖσθαι, ἐπειδὴ τὴν πόλιν προύδοσαν, πάντων κάκιστ' ἀπολώλασιν), οὐδενὶ μέντοι μᾶλλον ἢ τῇ πολιτείᾳ πολεμεῖ οὐδ' ἐπιβουλεύει, καὶ σκοπεῖ μᾶλλον οὐδὲ ἓν τῶν πάντων ἢ πῶς ταύτην καταλύσει. [41] Καὶ τοῦτ' εἰκότως τρόπον τινὰ πράττει· οἶδε γὰρ ἀκριβῶς ὅτι οὐδ' ἂν πάντων τῶν ἄλλων γένηται κύριος, οὐδὲν ἔστ' αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν ὑμεῖς δημοκρατῆσθε, ἀλλ' ἐάν ποτε συμβῇ τι πταῖσμα, ἃ πολλὰ γένοιτ' ἂν ἀνθρώπῳ, ἥξει πάντα τὰ νῦν συμβεβιασμένα καὶ καταφεύξεται πρὸς ὑμᾶς. [42] Ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες, ἀλλ' ἕτερον λαβεῖν κωλῦσαι καὶ ἔχοντ' ἀφελέσθαι δεινοί, καὶ ὅλως ἐνοχλῆσαι τοῖς ἄρχειν βουλομένοις καὶ πάντας ἀνθρώπους εἰς ἐλευθερίαν ἐξελέσθαι ἕτοιμοι. Οὔκουν βούλεται τοῖς ἑαυτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐδὲ πολλοῦ δεῖ,

NC. 4. πῶς S et L. ὅπως vulg. — καταλύσει S et L. καταλύσῃ vulg. — 5. Avant πράττει, la vulgate ajoute νῦν γε δή. Cf. *Phil.* IV, 12. — 6. ἔστ' S et L seuls. ἔσται vulg. — 7. δημοκρατῆσθε vulg. δημοκρατεῖσθε S. — τι vulg. τινὶ S et L seuls. — 8. βεβιασμένα A, Y. Cf. *Phil.* IV. — 13. ἐξελέσθαι *Phil.* IV. ἀφελέσθαι (cf. l. 11) S, L, A. ἐξαφελέσθαι vulg Benseler (*de Hiatu*, p. 70) propose d'écrire ici, comme on lit dans la quatrième Philippique, § 14 : ἐξελέσθαι δεινοί, en supprimant δεινοί à la l. 11. — 14. παρ' ὑμῶν S et L. παρ' ὑμῖν vulg. Cf. *Phil.* IV, 14, NC.

1-2. Κάκιστ' ἀπολώλασιν. Cette locution hyperbolique (cf. *Olynth.* III, § 12, avec la note) ne doit s'entendre que du mépris, et peut-être du dénûment, où Philippe avait laissé tomber ces traîtres. Euthycrate était encore en vie après la bataille de Chéronée, et il fut même alors réhabilité par le parti macédonien. Voir Hypéride, *Contre Demade*, fr. 80 (79). — Οὐδενί. Au neutre.

4. Εἰκότως τρόπον τινά, en quelque sorte avec raison. En se mettant au point de vue de Philippe, on trouve qu'il est logique avec lui-même. Cf. *Phil.* II, 25 : Βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸς ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος.

7. Τι πταῖσμα, ἃ.... un de ces échecs qui... Un nom commun rappelle aux Grecs l'espèce tout entière, et peut être suivi, quoique au singulier, d'un relatif au pluriel. Cf. Homère, *Il.* XIV, 410 : Χερμαδίῳ, τά ῥα πολλὰ.... ἐκυλίνδετο. Euripide, *Oreste*, 920 : Αὐτουργός, οἵπερ καὶ μόνοι σῴζουσι γῆν. Tite-Live, XXII, LVII, 3 : « Scriba pontificis, quos nunc « minores pontifices appellant. »

8. Πάντα.... συμβεβιασμένα, tous ces éléments divers réunis par la contrainte et forcés d'obéir à une impulsion unique.

9. Ἐστὲ γὰρ ὑμεῖς. Le caractère des Athéniens et leur rôle dans la Grèce avaient été résumés de main de maître par Thucydide, I, 70. Éclairé par la suite de leur histoire, Démosthène ajoute ici des traits nouveaux à l'esquisse de l'historien.

12-13. Εἰς ἐλευθερίαν ἐξελέσθαι, arracher (à la servitude et mettre) en liberté. Brachylogie éminemment grecque. Cf. Krüger, *Gramm. gr.* § 68, 21, 4. On dit également ἀφαιρεῖσθαι εἰς ἐλευθερίαν.

13-14. Τοῖς ἑαυτοῦ καιροῖς, à ses échecs, qui sont autant d'occasions pour ses ennemis. Voir la note sur *Phil.* I, 18 : Ἂν ἐνδῷ καιρόν. — Ἐφεδρεύειν. Cf. *Paix*, § 15, avec la note. — Οὐδὲ πολλοῦ δεῖ, non pas même à beaucoup près, c'est-à-dire pas

οὐ κακῶς οὐδ' ἀργῶς ταῦτα λογιζόμενος. [43] Πρῶτον μὲν δὴ τοῦτο δεῖ, ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον· εἰ γὰρ μὴ τοῦτο πεισθήσεσθε ταῖς ψυχαῖς, οὐκ ἐθελήσεθ' ὑπὲρ τῶν πραγμάτων σπουδάζειν· δεύτερον δ' εἰδέναι σαφῶς ὅτι πάνθ' ὅσα πραγματεύεται καὶ κατασκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν παρασκευάζεται, καὶ ὅπου τις ἐκεῖνον ἀμύνεται, ἐνταῦθ' ὑπὲρ ἡμῶν ἀμύνεται. [44] Οὐ γὰρ οὕτω γ' εὐήθης ἐστὶν οὐδεὶς ὃς ὑπολαμβάνει τὸν Φίλιππον τῶν μὲν ἐν Θρᾴκῃ·κακῶν (τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστειραν καὶ ἃ νῦν ἐξαιρεῖ [καὶ κατασκευάζεται];) τούτων μὲν ἐπιθυμεῖν καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν καὶ πόνους καὶ χειμῶνας καὶ τοὺς ἐσχάτους κινδύνους ὑπομένειν, [45] τῶν δ' Ἀθηναίων λιμένων καὶ νεω-

NC. 1-2. ἂν (pour δὴ, faute ordinaire) τοῦτο S et L seuls. δὴ διὰ τοῦτο vulg. — 2-3. καὶ τῆς δημοκρατίας. Cobet regarde ces mots comme une glose. Il faut peut-être écrire πόλεως pour πολιτείας. L'orateur résumerait ainsi plus complétement ce qu'il vient de dire. Toutefois *Phil.* IV, 15 atteste l'ancienneté de la leçon des manuscrits. — 6-7. παρασκευάζεται presque tous les manuscrits, ainsi que *Phil.* IV, 15. κατασκευάζεται vulg. — 7-8. ὑμῶν ἀμύνεται S et L. ἡμῶν ἀμυνεῖται vulg. — οὐδεὶς S et L. ὑμῶν οὐδεὶς vulg. — ὃς ὑπολαμβάνει S et L seuls. ὥστε ὑπολαμβάνειν vulg. et *Phil.* IV, 16. — 9. τί vulg. et Harpocration, art. Μάστειρα. οὐ S et L seuls, ainsi que Vœmel. — 10. καβυδην καὶ ἃ (en omettant καὶ Μάστειραν) S et L seuls, de première main. Cf. *Phil.* IV, 16. — 11. καὶ κατασκευάζεται. J'ai mis entre crochets ces mots, qui me sont suspects. Viendraient-ils de la ligne 6? — 13. Ἀθηναίων S et L seuls. Ἀθήνησι vulg.

le moins du monde. Les locutions οὐδ' ὀλίγου δεῖ, οὐδ' ἐγγύς, « non pas même approximativement, » disent la même chose d'une manière moins hyperbolique. Cf. *Mégalop.* 16 : Οὐχ ἵν' ἑκάστους ἡμῶν ἴδωσιν ἔχοντας τὰ ἑαυτῶν, οὐδ' ὀλίγου δεῖ. *Couronne*, 12 : Οὐκ ἔνι.... δίκην ἀξίαν λαβεῖν, οὐδ' ἐγγύς. (On a donné différentes explications de la formule, familière à Démosthène, οὐδὲ πολλοῦ δεῖ. Nous nous sommes arrêté à celle de Reiske et de Rehdantz.)

1. Ἀργῶς, « temere, re non accurate « cognita. » [G. H. Schæfer.]

1-2. Πρῶτον μὲν δή. Ces mots se réfèrent au commencement du § 39. — Τοῦτο est l'antécédent de la phrase infinitive ἐχθρὸν ὑπειληφέναι.

6-7. Κατασκευάζεται.... παρασκευάζεται. Il y a une légère différence entre ces deux verbes. Toutes les mesures de Philippe, tous les arrangements pris par lui, ce sont autant de machines préparées et dressées contre Athènes.

8. Οὕτω.... ὅς. Cf. *Olynth.* I, 15 : Οὕτως εὐήθης.... ὅστις, avec la note.

9. Κακῶν, misères, bicoques qui ne peuvent donner que du mal. Au § 45 l'orateur énumérera des ἀγαθά.

10. Μάστειραν. Nom d'ailleurs inconnu. Aussi Harpocration le croyait-il altéré. Il dit, après avoir cité ce passage : Μήποτε γραπτέον Βάστειραν ἢ Πίστειραν ἢ Ἐπίμαστον, ἐπεὶ ταύτας τὰς πόλεις εὑρίσκομεν παρὰ Ἀναξιμένει ἐν ἑβδόμῳ τῶν περὶ Φίλιππον, τὴν δὲ Μάστειραν οὐδαμοῦ μνήμης τυχοῦσαν.

11. [Καὶ κατασκευάζεται], et qu'il met en état, qu'il arme, qu'il fortifie. Cf. cependant *NC*.

ρίων καὶ τριήρων καὶ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοσούτων προσόδων οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν ἐάσειν ὑμᾶς ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις σιροῖς ἐν τῷ βαράθρῳ χειμάζειν. Οὐκ ἔστι ταῦτα, ἀλλὰ κἀκεῖν’ 101
ὑπὲρ τοῦ τούτων γενέσθαι κύριος καὶ τἄλλα πάντα πραγματεύεται. [46] Τί οὖν εὖ φρονούντων ἀνθρώπων ἐστίν; Εἰδότας ταῦτα καὶ ἐγνωκότας τὴν μὲν ὑπερβάλλουσαν καὶ ἀνείκαστον ταύτην ῥᾳθυμίαν ἀποθέσθαι, χρήματα δ’ εἰσφέρειν, καὶ τοὺς συμμάχους ἀξιοῦν, καὶ ὅπως τὸ συνεστηκὸς τοῦτο συμμενεῖ στράτευμ’ ὁρᾶν καὶ πράττειν, ἵν’ ὥσπερ ἐκεῖνος ἕτοιμον ἔχει δύναμιν τὴν ἀδικήσουσαν καὶ καταδουλωσομένην ἅπαντας τοὺς Ἕλληνας, οὕτω τὴν σώσουσαν ὑμεῖς καὶ βοηθήσουσαν ἅπασιν ἕτοιμον ἔχητε. [47] Οὐ γάρ ἐστι βοηθείαις χρωμένους οὐδέποτ’ οὐδὲν τῶν δεόντων πρᾶξαι, ἀλλὰ κατασκευάσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας καὶ ταμίας καὶ δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν χρημάτων φυλακὴν ἀκριβεστά-

NC. 2. ὑμᾶς ἐάσειν A, Y. ἐάσειν ἡμᾶς S, L. — 3-4. σείροις S de première main. σιρροῖς L. — 7. ἀνείκαστον S et, de première main, L seuls. ἀνήκεστον vulg. Cobet n'admet ni l'une ni l'autre de ces leçons. — 9. συμμενεῖ *Urbinas*. συμμένοι S et L. συμμένει ou συμμένῃ les autres. — 10. ἕτοιμον, ici et l. 13, S et L. ἑτοίμην vulg. Ensuite ἔχῃ (pour ἔχει) S. — 13. ἔστι vulg. ἔνεστι L. εστι, avec εν, ajouté au-dessus de εσ par le correcteur, S. — 15. καὶ, après ταμίας, est omis dans la vulgate. — 16. τῶν χρημάτων. Cf. *Phil.* IV, 22, où S porte πραγμάτων.

1. Τῶν.... ἀργυρείων. Ce sont les fameuses mines du Laurion dans l'Attique.

3-4. Τῶν μελινῶν.... σιροῖς. Peinture de la pauvreté de ces pays encore barbares du Nord. Le millet et l'épeautre, voilà les trésors que les indigènes serrent dans des cavités souterraines. On cite Varron, *De Re rust.* I, 57 : « Quidam granaria « habent sub terris speluncas, quas vocant « σειρούς, ut in Cappadocia et Thracia. » De *sirus* est venu l'espagnol *silo*, que nous avons adopté. — On a remarqué l'assonance moqueuse de μελινῶν, opposé à λιμένων, p. 288, l. 13.

4. Ἐν τῷ βαράθρῳ. On donnait ce nom aux Gémonies d'Athènes. Harpocration : Βάραθρον· ὄρυγμα εἰς ὃ τοὺς ἐπὶ θανάτῳ κατακρίτους ἐνέβαλλον. Δημοσθένης δὲ ἐν Φιλιππικοῖς οὐ κυρίως αὐτὸ λέγει, ἀλλ’ ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ. A. Schæfer (II, p. 419) suppose que les Macédoniens, forcés d'hiverner dans ce rude climat, se creusaient des abris sous terre. Cela est fort plausible. Nos soldats en ont fait autant en Crimée.

5. Τούτων, des choses d'ici, des ports, des revenus d'Athènes.

7. Ἀνείκαστον, qui ne saurait être comparé à rien, sans pareil. Cf. Denys d'Halicarnasse, *Ant. Rom.* IV, 66 : Δεινὴν καὶ ἀνείκαστον ὑπομείνασα ὕβριν.

9. Ἀξιοῦν. Sous-ent. εἰσφέρειν χρήματα.

13. Βοηθείαις. Voir la note sur le § 32 de la première Philippique, où l'orateur insiste sur le même point.

15-1. Καὶ ταμίας καὶ δημοσίους, des questeurs, et des esclaves publics, lesquels assistaient ces magistrats dans l'exercice de leurs fonctions. — Καὶ ὅπως.... ποιήσαντας. Démosthène demande une comptabi-

την γενέσθαι, οὕτω ποιήσαντας, τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβάνειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ. Κἂν οὕτω ποιήσητε καὶ ταῦτ' ἐθελήσηθ' ὡς ἀληθῶς, ἄγειν εἰρήνην δικαίαν καὶ μένειν ἐπὶ τῆς αὑτοῦ Φίλιππον ἀναγκάσετε, οὗ μεῖζον οὐδὲν ἂν γένοιτ' ἀγαθόν, ἢ πολεμήσετ' ἐξ ἴσου.

[48] Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης μεγάλης καὶ πόνων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλ' ὀρθῶς δοκεῖ· ἀλλ' ἐὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα, ἂν ταῦτα μὴ 'θέλῃ, εὑρήσει λυσιτελοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. [49] Εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς θεῶν (οὐ γὰρ ἀνθρώπων γ' οὐδεὶς ἂν γένοιτ' ἀξιόχρεως τηλικούτου πράγματος) ὡς, ἐὰν ἄγηθ' ἡσυχίαν καὶ ἅπαντα πρόησθε, οὐκ ἐπ' αὐτοὺς
102 ὑμᾶς τελευτῶν ἐκεῖνος ἥξει, αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάντας θεοὺς καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ πόλει καὶ πεπραγμένων τοῖς προγόνοις, τῆς ἰδίας ἕνεκα ῥᾳθυμίας τοὺς

NC. 3-4. καὶ ταῦτ' vulg. καὶ τότε S et L seuls. Ces mêmes manuscrits omettent καὶ avant μένειν, de manière à commencer l'apodose par ce dernier mot. Vœmel et d'autres ont adopté cette leçon. Mais la locution ἄγειν εἰρήνην δικαίαν doit faire antithèse à πολεμήσετε, et elle désigne une conduite qu'il faut obtenir de Philippe, et non des Athéniens. Enfin la vulgate est confirmée par les mots ἂν ταῦτα μὴ 'θέλῃ, l. 9-10, ainsi que par *Phil.* IV, 2:, où S s'accorde avec les autres manuscrits. — 9. λογίσηται vulg. λογίζηται S et L. — 10. θέλῃ S et L seuls. ἐθέλῃ ποιεῖν vulg. et *Phil.* IV, 24. — 11. ἐγγυητὴς S et L seuls. ἐγγυητὴς ἡμῖν (ou ὑμῖν) vulg. — 14. ὑμᾶς S et L. ἡμᾶς vulg.

lité parfaitement organisée. Οὕτως résume la phrase incidente ὅπως ἔνι. Cf. *Olynth.* II, 7 à la fin. — Quant à l'ensemble de ce passage, voir *Phil.* I, 33.

3. Καὶ ταῦθ' ἐθελήσηθ' ὡς ἀληθῶς. Vouloir sérieusement, voilà ce que Démosthène demande sans cesse aux Athéniens. Cf. *Phil.* I, 13 ; *Olynth.* I, 6. La variante citée ci-dessus a le tort d'effacer cette idée.

8. Καὶ μάλ(α). Dans cette locution, comme dans καὶ πάνυ, καὶ λίαν, etc., la particule καί est augmentative. Cf. *Olynth.* III, 2.

12. Ἀξιόχρεως (un garant suffisant à..., assez digne de confiance pour attester....) gouverne le génitif πράγματος. Cf. *Ambassade*, § 131 : Τίμημα δ ταύτην ἕξει τὴν ἀξίαν ὥστε τοσούτων ἀδικημάτων ἀξιόχρεων φαίνεσθαι. La locution μάρτυς ἀξιόχρεως est usuelle.

14. Τελευτῶν, à la fin. Construction personnelle, comme dans ἀρχόμενος, « au commencement, » χθιζός, « hier, » χρόνιος, « tardivement, » etc.

15. Τῶν ὑπαρχόντων τῇ πόλει, de la gloire acquise et possédée par la ville, des traditions de la ville. On cite *Couronne*, § 95 : Ἓν ἢ δύο βούλομαι τῶν καθ' ὑμᾶς πεπραγμένων καλῶς τῇ πόλει διεξελθεῖν.... καὶ γὰρ ἄνδρ' ἰδίᾳ καὶ πόλιν κοινῇ πρὸς τὰ κάλλιστα τῶν ὑπαρχόντων ἀεὶ δεῖ πειρᾶσθαι τὰ λοιπὰ πράττειν. *Epitaph.* § 31 : Οὐκ ἠμνημόνουν Ἀντιοχίδαι Ἡρακλέους ὄντα Ἀντίοχον. Δεῖν οὖν ἡγήσαντο ἢ ζῆν ἀξίως τῶν ὑπαρχόντων ἢ τεθνάναι καλῶς.

NC. 1-2. ἐλεγχθῆναι S et L[1]. ἐξελεγχθῆναι vulg. — 3-4 *b*. καὶ παραίτησις... συγγνώμη Ces mots manquent dans S, L [1], et dans d'autres manuscrits. Ils ne sont guère admissibles après καὶ τιμωρίᾳ μεγίστῃ τοῦτον ἐκόλαζον. Cependant nous n'avons pas voulu les supprimer, comme ont fait les derniers éditeurs. Nous regardons les deux phrases comme appartenant à des rédactions parallèles. Voir le § 39. — 6. προσεχόντων S[1], L[1] et d'autres mss. προσεχόντων, καὶ τοῖς μηδὲν ἐθέλουσι ποιεῖν κατὰ τῶν πάντα ἃ προσήκει πραττόντων vulg. Cette addition, peut-être tirée de *Phil.* I, 5 sq. et d'*Olynth.* II, 23, est fort déplacée ici. Pour qui ne veut rien faire, toutes les occasions sont perdues. — 8-9. τοὺς τυράννους καὶ τοὺς βαρβάρους les bons manuscrits. τ. β. κ. τ. τ. vulg. — τοιοῦτον S et L seuls. τῶν τοιούτων vulg. — 10. ἐκπέπρακται S, de première main.

cution hardie, qui équivaut à ἐλευθερίαν ἄγειν ἐποίει τὴν Ἑλλάδα, « faisait vivre la Grèce en liberté, conservait la Grèce libre. » On pourrait aussi dire δι' ἐλευθερίας ἦγεν, ou εἶχεν. Cf. *Couronne*, 89 : Ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀφθονωτέροις καὶ εὐωνοτέροις διήγαγεν ὑμᾶς.

1. Χαλεπώτατον, la chose la plus grave.

5-8. Τὸν οὖν καιρὸν.... οὐκ ἦν πρίασθαι, on ne pouvait acheter le moment critique qui décide de toute action, c'est-à-dire, on ne pouvait obtenir à prix d'argent que ce moment fût négligé par le peuple. On rapproche *Ambassade*, § 6 : Πολλάκις συμβαίνει πολλῶν πραγμάτων καὶ μεγάλων καιρὸν ἐν βραχεῖ χρόνῳ γίγνεσθαι, ὃν ἄν τις ἑκὼν καθυφῇ τοῖς ἐναντίοις καὶ προδῷ, οὐδ' ἂν ὁτιοῦν ποιῇ πάλιν οἷός τ' ἔσται σῶσαι. Eschine, *Contre Ctesiphon*, 92 : Ἀπέδοτο μὲν τοὺς καιροὺς τοὺς τῆς πόλεως. — Τὴν πρὸς ἀλλήλους ὁμόνοιαν (πρίασθαι), acheter la concorde entre les Grecs, c'est-à-dire, trouver des gens disposés à vendre cette concorde. Ici encore le français « acheter » ne saurait être employé dans le sens du grec πρίασθαι. Nous dirions plutôt « acheter la discorde ».

10-11. Ἐκπέπραται, ont été vendus à l'étranger. Ce composé est formé d'après l'analogie de ἐξῆκται, pour faire antithèse à ἀντεισῆκται. La traduction « ont été vendus tout entiers, jusqu'au dernier reste » [« ita ut jam forum (respublica) his mer« cibus vacuum habeatur » Franke], ne convient donc pas à ce passage, bien qu'elle soit possible en elle-même. — Ἀπόλωλε καὶ νενόσηκεν. Le premier terme peut sembler plus fort que le second. Mais au fond ἀπόλωλε est une hyperbole usée, une expression vague, que νενόσηκεν sert à préciser. Rehdantz rapproche § 31 : Ἀπώλλυε καὶ ἐλυμαίνετο. *Ambassade*, § 90 : Ἀπόλωλε καὶ γέγονεν ἀσθενής. Cicéron, *pro Roscio Amerino*, 12, 33 : « Qui tantum potuit, ut omnes cives per« diderit et afflixerit. »

λάς. Ταῦτα δ' ἐστὶ τί; Ζῆλος, εἴ τις εἴληφέ τι· γέλως, ἂν ὁμολογῇ·

συγγνώμη τοῖς ἐλεγχομένοις· μῖσος, ἂν τούτοις τις ἐπιτιμᾷ·

τἄλλα πάνθ' ὅσ' ἐκ τοῦ δωροδοκεῖν ἤρτηται. [40] Ἐπεὶ τριήρεις γε καὶ σωμάτων πλῆθος καὶ χρημάτων καὶ τῆς ἄλλης κατασκευῆς ἀφθονία, καὶ τἄλλ' οἷς ἄν τις ἰσχύειν τὰς πόλεις κρίνοι, νῦν ἅπασι καὶ πλείω καὶ μείζω ἐστὶ τῶν τότε πολλῷ. Ἀλλὰ ταῦτ' ἄχρηστα, ἄπρακτα, ἀνόνητα ὑπὸ τῶν πωλούντων γίγνεται.

[41] Ὅτι δ' οὕτω ταῦτ' ἔχει, τὰ μὲν νῦν ὁρᾶτε δήπου καὶ οὐδὲν ἐμοῦ προσδεῖσθε μάρτυρος· τὰ δ' ἐν τοῖς ἄνωθεν χρόνοις ὅτι τἀναντί' εἶχεν, ἐγὼ δηλώσω, οὐ λόγους ἐμαυτοῦ λέγων, ἀλλὰ γράμματα τῶν προγόνων τῶν ὑμετέρων, ἁκεῖνοι κατέ-

KC. 3-4 a. συγγνώμη τοῖς ἐλεγχομένοις. Ces mots, qui manquent dans S et L[1] seuls, précèdent, dans la vulgate, la phrase μῖσος, ἂν τούτοις τις ἐπιτιμᾷ, au détriment du sens: car τούτοις est au neutre. Les derniers éditeurs les retranchent. Suivant nous, ils proviennent d'une rédaction parallèle, la même qui portait, au § 37, καὶ παραίτησις οὐδεμί' ἦν οὐδὲ συγγνώμη, mots qui semblent répondre à συγγνώμη τοῖς ἐλεγχομένοις. — 5. ἐπεὶ καὶ vulg. — 6. χρημάτων S[1] et L[1] seuls. χρημάτων πρόσοδος (ou πρόσοδοι) vulg. La glose altère quelque peu le sens de ce passage. Voir la note explicative. — 7. κατασκευῆς. Variante : παρασκευῆς. — 8. ἅπασι S et L[1]. ἅπαντα vulg. — 9. ἀλλὰ ταῦτα S et L[1]. ἀλλ' ἅπαντα ταῦτα vulg. — 13. τἀναντία S et L[1]. τἀναντία τούτων vulg. — 14. ὑμετέρων S et L[1] seuls. ὑμετέρων δεικνύων vulg. Ce participe est aussi omis par Aristide, chez Walz, t. IX, p. 364.

1-4. Ζῆλος.... Démosthène résume ici ce qu'il avait développé dans le discours de l'*Ambassade*, § 259 : Θαυμάζουσι καὶ ζηλοῦσι καὶ βούλοιντ' ἂν αὐτὸς ἕκαστος τοιοῦτος εἶναι. — Ἂν ὁμολογῇ. Cf. § 54. Démosthène pensait peut-être à Philocrate. Voir *Ambass.* § 114 et 119. — Τούτοις. Ce pronom, qui est au neutre, désigne la conduite, flétrie dans les deux phrases précédentes (l. 12), des traîtres et du peuple.

6-8. Καὶ σωμάτων πλῆθος καὶ χρημάτων, la population et la richesse du pays (c'est-à-dire, des particuliers). Ces mots font corps. Σώματα et χρήματα, « personnes et fortunes, » étaient si souvent rapprochés (exemples : *Couronne*, § 20 et § 66), et s'appelaient si naturellement par le son même, que l'idée de lier ici καὶ χρημάτων... ἀφθονία ne pouvait venir à un Athénien. — Οἷς, « d'après lesquelles choses, » se rattache à κρίνοι. Cf. *Olynth.* II, 15 : Οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο. — Ἅπασι, à tous les Grecs. — Τῶν τότε équivaut à ἢ τοῖς τότε Cf. *Olynth.* III, 32.

9-10. Ἀλλὰ ταῦτ' ἄχρηστα, ἄπρακτα (inefficaces).... γίγνεται. Cette pensée se trouve illustrée d'une manière frappante dans le discours de l'*Ambassade*, § 265 sq., par l'exemple d'Olynthe succombant à la trahison, malgré sa puissance et sa prospérité.

11-13. Ταῦτ(α). Ce démonstratif, qui embrasse tout le parallèle que Démosthène vient de faire, est suivi de la subdivision τὰ μὲν νῦν.... τὰ δ' ἐν τοῖς ἄνωθεν χρόνοις. — Τἀναντί(α), accusatif adverbial, équivaut à ἐναντίως.

[64] Εἰσφέρειν ἐκέλευον, οἱ δ' οὐδὲν δεῖν ἔφασαν· πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ' ἄγειν εἰρήνην — ἕως ἐγκατελήφθησαν. Τἄλλα τὸν αὐτὸν τρόπον οἶμαι πάνθ', ἵνα μὴ καθ' ἕκαστα λέγω· οἱ μὲν ἐφ' οἷς χαριοῦνται, ταῦτ' ἔλεγον, οἱ δ' ἐξ ὧν ἔμελλον σωθήσεσθαι. Πολλὰ δὲ καὶ τὰ τελευταῖα οὐχ οὕτως πρὸς χάριν οὐδὲ δι' ἄγνοιαν οἱ πολλοὶ προσίεντο, ἀλλ' ὑποκατακλινόμενοι, ἐπειδὴ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον. [65] Ὃ νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω δέδοικ' ἐγὼ μὴ πάθηθ' ὑμεῖς, ἐπειδὰν εἰδῆτ' ἐκλογιζόμενοι μηδὲν ἔθ' ὑμῖν ἐνόν. Καίτοι μὴ γένοιτο μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ πράγματ' ἐν τούτῳ· τεθνάναι δὲ μυριάκις κρεῖττον ἢ κολακείᾳ τι ποιῆσαι Φιλίππου [καὶ προέσθαι τῶν ὑπὲρ ὑμῶν λεγόντων τινάς]. [66] Καλήν γ' οἱ πολλοὶ νῦν ἀπειλήφασιν Ὠρειτῶν χάριν, ὅτι τοῖς

NC. 4. χαριοῦνται S et L[1]. ἤδη χαριοῦνται vulg. — 4-5. Dans plusieurs manuscrits interpolés, ἔλεγον est suivi de καὶ ἐλύπουν οὐδέν, et σωθήσεσθαι, de προσῆσαν δ' ἀπήχθειαι. — 6. πρὸς χάριν οὐδέ L seul, et Rehdantz. οὐδὲ πρὸς χάριν οὐδὲ S. οὔτε πρὸς χάριν οὔτε vulg. — προσίεντο S et L. προΐεντο (ou προΐεντο ἑαυτοὺς ou προεῖντο) vulg. — 8. ἐγώ S et L. ἔγωγε vulg. — 9. ἐκλογιζόμενοι S et L[1]. λογιζόμενοι quelques manuscrits. ἐκ λογισμοῦ vulg. — ἔθ' ὑμῖν conjecture de Franke. ἐν ὑμῖν S et L. ὑμῖν vulg. — Après ἐνόν la vulgate ajoute : καὶ τοὺς εἰς τοῦθ' ὑπάγοντας ὑμᾶς ὁρῶν οὐκ ὀρρωδῶ, ἀλλὰ δυσωποῦμαι· ἢ (ou ᾗ) γὰρ ἐξεπίτηδες ἢ (Spengel : οὐ) δι' ἄγνοιαν εἰς χαλεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν. Cette mauvaise interpolation, qui manque dans le texte de S, dans L, B, Y, semble avoir été connue d'Harpocration (art. δυσωποῦμαι et ὑπάγουσιν), ainsi que d'autres lexicographes grecs. — 10. ὦ ἄνδρες Ἀθηναῖοι. S et L[1] : ὡς. — 11. δὲ S et L. γὰρ vulg. — φιλίππου S et L[1]. Φιλίππῳ vulg. — 12. καὶ προέσθαι.... τινάς (ou τινά). Ces mots manquent dans S et L[1] seuls.

1-2. Εἰσφέρειν ἐκέλευον, οἱ δ(ὲ).... L'orateur supprime οἱ μέν dans le premier membre de phrase. C'est qu'il voit tout d'abord le mot, l'idée, qui importe : εἰσφέρειν, « s'imposer », et plus loin πολεμεῖν καὶ μὴ πιστεύειν : choses que Démosthène demande à Athènes, comme les patriotes les avaient demandées à Olynthe, à Érétrie, à Oréos. Ces ellipses sont fréquentes chez les poëtes. Cf. Euripide, *Hécube*, 28 : Κεῖμαι δ' ἐπ' ἀκτῆς, ἄλλοτ' ἐν πόντου σάλῳ, et *passim*.

4-7. Ταῦτ(α). Ce démonstratif, qui se réfère à ἐφ' οἷς, est ajouté pour mieux marquer l'antithèse (cf. οὕτω, *Cherson*. § 61, et *passim*), peut-être aussi pour éviter l'hiatus. — Οὐχ οὕτως, « non tant, » est suivi, par une tournure vive, de ἀλλ(ά), au lieu de ὡς. — Πρὸς χάριν veut dire ici « par complaisance pour eux-mêmes, par amour du plaisir ». En effet le sujet de la phrase est οἱ πολλοί, « le peuple. » — Προσίεντο, ils admirent, ils laissèrent faire. — Ὑποκατακλινόμενοι, « cédant la place, » équivaut à ὑποκλίνοντες, ὑποχωροῦντες. Platon, *Rép*. I, 336 E, emploie ὑποκατακλίνεσθαι et ὑπείκειν comme synonymes.

9. Μηδὲν ἔθ' ὑμῖν ἐνόν, qu'il ne vous est plus possible de rien faire.

11. Τεθνάναι δέ équivaut à εἰ δὲ τὰ πράγματα γένοιτο ἐν τούτῳ (ἔλθοι ἐς τοῦτο, si les choses en venaient à ce point), τεθνάναι....

13. Ὠρειτῶν L'orateur commence par ceux dont il avait parlé en dernier lieu, et remonte ensuite aux Érétriens et aux Olyn-

Φιλίππου φίλοις ἐπέτρεψαν αὐτοὺς, τὸν δ' Εὐφραῖον ἐώθουν· καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς [μὲν] ὑμετέρους πρέσβεις ἀπήλασεν, Κλειτάρχῳ δ' ἐνέδωκεν αὑτόν· δουλεύουσί γε μαστιγούμενοι καὶ σφαττόμενοι. Καλῶς Ὀλυνθίων ἐφείσατο τῶν τὸν μὲν Λασθένη ἵππαρχον χειροτονησάντων, τὸν δ' Ἀπολλωνίδην ἐκβαλόντων. [67] Μωρία καὶ κακία τὰ τοιαῦτ' ἐλπίζειν, καὶ κακῶς βουλευομένους καὶ μηδὲν ὧν προσήκει ποιεῖν ἐθέλοντας, ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων ἀκροωμένους, τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος ὥστε μηδ' ἂν ὁτιοῦν ᾖ δεινὸν πείσεσθαι. [68] Καὶ μὴν ἐκεῖνό γ' αἰσχρὸν, ὕστερόν ποτ' εἰπεῖν « Τίς γὰρ ἂν ᾠήθη ταῦτα γενέσθαι; « Νὴ τὸν Δία, ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι καὶ τὸ μὴ ποιῆσαι. » Πόλλ' ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι νῦν, ἃ τότ' εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκαστοι. [69] Ἀλλὰ τί τούτων ὄφελος αὐτοῖς; Ἕως ἂν σῴζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ,

NC. 2. μὲν ὑμετέρους S. ὑμετέρους L[1] seul. ὑμετέρους μὲν vulg. — 3. ἀπήλασεν S. — 4. σφαττόμενοι S[1], A, L. στρεβλούμενοι vulg. δουλεύουσι γὰρ (Graux) et καλῶς γ' Herwerden. — 7. καὶ, avant κακῶς, manque dans F. — βουλευομένους αὐτοὺς vulg. — 10. Dindorf, d'après la conjecture de Seager : μηδὲν, μηδ'. — ᾖ est omis dans plusieurs manuscrits. — ἐκεῖνο. Variante : κἀκεῖνο. — 11. εἰπεῖν S et L[1] seuls. εἰπεῖν συμβάντος τινός vulg. — 12. καὶ τὸ μὴ ποιῆσαι. Dindorf, d'après G. H. Schæfer : καὶ τὸ καὶ τὸ μὴ ποιῆσαι. — 14. πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς, πολλὰ. Comme Démosthène revient au § 63 et au § 66 sur les trois exemples qu'il a cités un peu plus haut, Spengel propose : πόλλ' ἂν Ἐρετριεῖς, πόλλ' ἂν Ὠρεῖται, πόλλ' ἄν.

thiens, en suivant l'ordre inverse de l'énumération qui précède. C'est l'usage des anciens : ils vont du plus voisin au plus éloigné. Cf. p. 346, l. 11.

2-3. Ὑμετέρους πρέσβεις. Dans le discours pour la Couronne, § 79, Démosthène parle d'une ambassade athénienne envoyée en Eubée sur sa proposition.

5. Λασθένη ἵππαρχον. Cf. § 56.

6-7. Τὰ τοιαῦτ(α) ἐλπίζειν, nourrir de telles espérances, c'est-à-dire espérer que Philippe traitera avec douceur un peuple qui aura fait des bassesses pour lui plaire.

10. Μηδ' ἂν ὁτιοῦν ᾖ, non pas, quoi qu'il arrive. On rapproche, *Ambassade*, § 324 : Οὗτοι δὲ τοιαῦτ' ἀπαγγελοῦσι.... ἐξ ὧν μηδ' ἂν ὁτιοῦν ᾖ κινηθήσονται.

12. Τὸ καὶ τὸ, ceci et cela. Pindare lui-même n'a pas dédaigné de se servir dans ses Odes de cette locution familière. Cf. *Olymp.* II, 99 : « Ὁ.... πλοῦτος.... φέρει τῶν τε καὶ τῶν καιρόν. *Pyth.* V, 74 : Ὄλβος.... τὰ καὶ τὰ νέμων.

14. Πολλὰ Φωκεῖς. Voir *NC.*

16. Ἕως ἂν σῴζηται (se maintient sain et sauf) τὸ σκάφος. Cf. l'allégorie d'Alcée (fr. 18 Bergk), imitée par Horace, *Odes*, I, 14 : Τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται, Τὸ δ' ἔνθεν· ἄμμες δ' ἂν τὸ μέσσον Νᾶϊ φορήμεθα σὺν μελαίνᾳ, ainsi que les vers de Sophocle, *Ant.* 189 : Ἥδ' (ἡ χθὼν) ἐστὶν ἡ σῴζουσα, καὶ ταύτης ἔπι Πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα, vers auxquels Démosthène lui-même fait allusion dans le discours sur l'*Ambassade*, § 249. — Ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ.

τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ' ἄνδρ' ἑξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ' ἑκὼν μήτ' ἄκων μηδεὶς ἀνατρέψει, τοῦτο σκοπεῖσθαι· ἐπειδὰν δ' ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή.

[70] Καὶ ἡμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷοι, πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα κάλλιστον, τί ποιῶμεν; πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσας κάθη-
129 ται. Ἐγὼ νὴ Δί' ἐρῶ, καὶ γράψω δὲ, ὥστ', ἂν βούλησθε, χειροτονήσετε. Αὐτοὶ πρῶτον ἀμυνόμενοι καὶ παρασκευαζόμενοι, τριήρεσι καὶ χρήμασι καὶ στρατιώταις λέγω (καὶ γὰρ ἂν ἅπαντες δήπου δουλεύειν συγχωρήσωσιν οἱ ἄλλοι, ἡμῖν γ' ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον), [71] ταῦτα δὴ πάντ' αὐτοὶ παρεσκευασμένοι καὶ ποιήσαντες φανερὰ τοὺς ἄλλους ἤδη παρακαλῶμεν, καὶ τοὺς ταῦτα διδάξοντας ἐκπέμπωμεν πρέσβεις ⌈πανταχοῖ, εἰς Πελοπόννησον, εἰς Ῥόδον, εἰς Χίον, ὡς

NC. 1-2. ἑξῆς προθύμους S et L. ἐφεξῆς πρόθυμον vulg. — 2-3. ἀνατρέψει G. H. Schæfer. ἀνατρέψηι manuscrits. — Ponctuation vicieuse : ἀνατρέψει τοῦτο, σκοπεῖσθαι. — 7. ἴσως est omis dans plusieurs manuscrits. C'est ici que s'arrête la première main de L : le reste du discours, ainsi que le commencement du discours suivant, est ajouté en marge par une main récente. — ἐρωτήσας, correction de Cobet (*Var. lect.* p. 92 sqq. et p. 268), admise par Dindorf et Vœmel. ἐρωτήσων manuscrits. La particule ἂν ne peut se construire avec un participe futur, et l'expédient de G. Hermann, qui sous-entend ἐρωτῶν ou τοῦτο ποιῶν après ἡδέως ἂν ἴσως, est quelque peu forcé. — 9. χειροτονήσετε. Variante : χειροτονήσατε. — 10. καὶ χρήμασι S. χρήμασι vulg. Si le premier καὶ est supprimé, le second doit l'être également, comme cela se voit en effet dans le manuscrit d'Urbino. — 11. δήπου δουλεύειν S. δουλεύειν δήπου vulg. — ὑμῖν vulg. — 13. παρεσκευασμένοι S, A. παρασκευασάμενοι vulg. — φανερὰ S[1] seul. τοῖς Ἕλλησι φανερὰ (ou φανερὰ τοῖς Ἕλλησι) vulg. — 14. παραδωμεν première main de S. — 15. πανταχοῖ (vulg. πανταχοῦ).... καταστρέψασθαι. Ces mots sont omis dans S seul.

La grandeur du vaisseau ne doit pas inspirer trop de sécurité. Cf. §§ 67 et 70.

1-3. Πάντ' ἄνδρ' ἑξῆς, chacun à son tour, tous indifféremment. — Ἀνατρέψει. Cf. *Ambass.* § 260 : Ἀνέτρεψε καὶ κατέδυσε καὶ τὸ καθ' αὑτὸν ὅπως ἐπὶ τοῖς ἐχθροῖς ἔσται παρεσκεύασεν.

7. Πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσας κάθηται, il y a sans doute sur ces bancs plus d'un qui, depuis longtemps, eût volontiers fait cette question.

8. Καὶ γράψω δέ, et, qui plus est, j'en ferai la motion formelle. Cf. *Olynth.* III, § 15 : Καὶ πρᾶξαι δὲ δυνήσεσθε. Dans le discours précédent (§ 68), Démosthène avait encore reculé devant une motion; mais il avait déjà conseillé les mêmes mesures (§ 76).

9. Αὐτοὶ πρῶτον.... παρασκευαζόμενοι. Démosthène insiste sur ce point. Les beaux discours des Athéniens ne trouvaient plus de créance dans la Grèce, parce que trop souvent ils n'étaient pas accompagnés d'effet. Voy. *Olynth.* II, § 12.

13-14. Ἤδη, *jam*, alors. Ne traduisez pas « de suite ». — Ταῦτα équivaut à ταύτας τὰς παρασκευάς.

15-1. Εἰς Πελοπόννησον..., ὡς βασιλέα λέγω. Ces ambassades partirent en effet. Cf. Eschine, *Contre Ctésiphon*, § 97; le Pseudo-Plutarque, *Vies des dix orateurs*,

βασιλέα λέγω (οὐδὲ γὰρ τῶν ἐκείνῳ συμφερόντων ἀφέστηκε τὸ μὴ τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι)], ἵν' ἐὰν μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν κινδύνων καὶ τῶν ἀναλωμάτων, ἄν τι δέῃ, εἰ δὲ μή, χρόνους γ' ἐμποιῆτε τοῖς πράγμασιν. [72] Ἐπειδὴ γάρ ἐστι πρὸς ἄνδρα καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ τοῦτ' ἄχρηστον, οὐδ' αἱ πέρυσι πρεσβεῖαι αἱ περὶ τὴν Πελοπόννησον ἐκεῖναι καὶ κατηγορίαι, ἃς ἐγὼ καὶ Πολύευκτος ὁ βέλτιστος ἐκεινοσὶ καὶ Ἡγήσιππος καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν, καὶ ἐποιήσαμεν ἐπισχεῖν ἐκεῖνον καὶ μήτ' ἐπ' Ἀμβρακίαν ἐλθεῖν μήτ' εἰς Πελοπόννησον ὁρμῆσαι. [73] Οὐ μέντοι λέγω μηδὲν αὐτοὺς ὑπὲρ αὐτῶν ἀναγ-

NC. 7. [καὶ κατηγορίαι] Cobet. D'autres : καὶ κατ' Ἀκαρνανίαν, καὶ κατ' Ἀμβρακίαν, καὶ κατ' Ἀνακτορίαν, καὶ κατ' Ἤπειρον. En effet, Démosthène, *Couronne*, § 244, parle de son ambassade d'Ambracie ; mais il n'est pas sûr qu'elle ait eu lieu avant cette harangue. La leçon des manuscrits est confirmée par le passage parallèle, *Cherson.* § 37 : τί οὖν πρεσβεύετε καὶ κατηγορεῖτε... — 8. Après Ἡγήσιππος la vulgate porte : καὶ Κλειτόμαχος καὶ Λυκοῦργος, noms que quelques manuscrits insèrent après βέλτιστος ; un manuscrit ajoute un troisième nom : καὶ Κλειτόμαχος. « Addita esse videntur ad οἱ ἄλλοι explicandum ex ὑπομνηματισμῶν. » [Vœmel.]

p. 850 A ; *Lettre de Philippe*, § 6 ; A. Schæfer, II, p. 450 sqq.

1. Τῶν.... συμφερόντων ἀφέστηκε. Cf. Euripide, *Iph. Taur.* 912 : Οὐδ' ἀφεστήξει λόγου, et il ne sera pas hors de propos.

4. Χρόνους γ' ἐμποιῆτε τοῖς πράγμασιν, *moram quidem interponatis*, pour que vous traîniez les choses en longueur, pour que vous gagniez du temps. Χρόνοι sont des délais, des ajournements. Cf. *Midienne*, 112 : Χρόνοι τούτοις τοῦ τὴν δίκην ὑποσχεῖν.... δίδονται.

5-6. Πρὸς ἄνδρα καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχύν. Gagner du temps, c'est gagner beaucoup, quand on a affaire à un homme qui peut tomber malade ou mourir, et non à un État, dont la force permanente est constituée d'une manière solide et durable (συνέστηκε). Rehdantz rapproche *Ambass.* § 55 : Ἄνδρα θνητὸν καὶ διὰ καιρούς τινας ἰσχύοντα. *Cherson.* § 11 : Ἔχων δύναμιν συνεστηκυῖαν ἀεὶ περὶ αὐτόν.

6-8. Αἱ πέρυσι πρεσβεῖαι. En 343. Ces voyages d'ambassadeurs ne sont donc pas les mêmes que Démosthène rappelle dans la deuxième Philippique, § 19. — Καὶ κατηγορίαι, ἅς.... Démosthène n'eût certainement pas dit κατηγορίαι ἃς περιήλθομεν ; mais comme κατηγορίαι est précédé de πρεσβεῖαι, cette construction est admissible, le second substantif étant considéré comme une espèce d'annexe, un développement accessoire et logiquement, sinon grammaticalement, subordonné au premier substantif. Cf. Krüger, *Gr. gr.* 58, 3, 9 ; § 74 ; *Mid.*, § 208 : Ἐξαιτήσεσθαι καὶ λιπαρήσειν παρ' ὑμῶν αὐτόν. *Contre Év. et Mnés.*, § 77 : Τὸν νόμον καὶ τὴν μαρτυρίαν, ὃς κελεύει. Homère, *Odyss.* II, 283 : Θάνατον καὶ κῆρα μέλαιναν, Ὃς δή σφι σχεδὸν ἐστιν. — Πολύευκτος. Cet ardent patriote, présent dans l'assemblée (ἐκεινοσί), et distingué par l'épithète ὁ βέλτιστος, est un de ceux dont Alexandre demanda l'extradition avant son départ pour l'Asie. Cf. Arrien, I, 10 ; Plutarque, *Démosth.* 23. — Ἡγήσιππος. Cf. *Halonnèse*, § 33.

9-10. Καὶ ἐποιήσαμεν. Voy. la note sur ὑφίστατο δ' οὐδέν, § 47. — Ἐπ' Ἀμβρακίαν ἐλθεῖν. Philippe avait marché contre cette ville (cf. §§ 27 et 34) ; mais il n'avait pas donné suite à ce mouvement.

11-2. Αὐτοὺς ὑπὲρ αὐτῶν équivaut à ἡμᾶς αὐτοὺς ὑπὲρ ἡμῶν. Mais plus bas, dans la phrase καὶ γὰρ εὔηθες..., le pronom αὐτούς se rapporte à un sujet général.

καῖον ἐθέλοντας ποιεῖν τοὺς ἄλλους παρακαλεῖν· καὶ γὰρ εὔηθες τὰ οἰκεῖ' αὐτοὺς προϊεμένους τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι, καὶ τὰ παρόντα περιορῶντας ὑπὲρ τῶν μελλόντων τοὺς ἄλλους φοβεῖν. Οὐ λέγω ταῦτα, ἀλλὰ τοῖς μὲν ἐν Χερρονήσῳ χρήματ' ἀποστέλλειν φημὶ δεῖν καὶ τἄλλ' ὅσ' ἀξιοῦσι
130 ποιεῖν, αὐτοὺς δὲ παρασκευάζεσθαι, τοὺς δ' ἄλλους Ἕλληνας συγκαλεῖν, συνάγειν, διδάσκειν, νουθετεῖν· ταῦτ' ἐστὶ πόλεως ἀξίωμ' ἐχούσης ἡλίκον ὑμῖν ὑπάρχει. [74] Εἰ δ' οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν ἢ Μεγαρέας, ὑμεῖς δ' ἀποδράσεσθαι τὰ πράγματα, οὐκ ὀρθῶς οἴεσθε· ἀγαπητὸν γὰρ ἐὰν αὐτοὶ σῴζωνται τούτων ἑκάστοις. Ἀλλ' ὑμῖν τοῦτο πρακτέον· ὑμῖν οἱ πρόγονοι τοῦτο τὸ γέρας ἐκτήσαντο καὶ κατέλιπον μετὰ πολλῶν καὶ μεγάλων κινδύνων. [75] Εἰ δ' ὃ βούλεται ζητῶν ἕκαστος καθεδεῖται, καὶ ὅπως μηδὲν αὐτὸς ποιήσει σκοπῶν, πρῶτον μὲν οὐδὲ μή ποθ' εὕρῃ τοὺς ποιήσοντας, ἔπειτα δέδοιχ' ὅπως μὴ πάνθ' ἅμ' ὅσ' οὐ βουλόμεθα ποιεῖν ἡμῖν ἀνάγκη γένηται.

NC. 2. προεμένους S. — 6. τοὺς δ' ἄλλους. La vulgate, conforme à A, porte : καὶ, πρώτους ἃ χρὴ ποιοῦντας, τότε καὶ τοὺς ἄλλους : leçon moins autorisée, mais bonne en elle-même. — 9. ἀποδράσεσθε vulg. — 11. ἑκάστοις Cobet. ἕκαστοι mss. — 12-13. πολλῶν καὶ καλῶν καὶ μεγάλων vulg. Les mots καὶ καλῶν ne sont sans doute qu'une variante, ou une glose, relative à καὶ μεγάλων, et tirée de *Olynth.* III, 36. — 14. ποιήσει. Vulgate : ποιήσῃ. — 15. οὐδὲ. Variante : οὐ. — 16. ἅμα ὅσα S. ὅσα vulg. — γένηται S. γενήσεται · εἰ γὰρ ἦσαν, εὕρηντ' ἂν πάλαι, ἕνεκά γε τοῦ μηδὲν ἡμᾶς (ou ὑμᾶς) αὐτοὺς ποιεῖν ἐθέλειν, ἀλλ' οὐκ εἰσίν vulg. Celui qui ajouta en marge l'addition εἰ... εἰσίν, qui manque dans S et dans la plupart des manuscrits, entendait sans doutequ'elle fut insérée après ποιήσοντας.

4. Τοῖς μὲν ἐν Χερρονήσῳ. Cf. § 20 et *Cherson.* § 19.

7. Συγκαλεῖν et συνάγειν sont synonymes, comme διδάσκειν et νουθετεῖν, et il y a gradation dans chacun des deux couples. On rapproche Cicéron, *Phil.* VII, 9 : « Excitati erecti, parati armati. » XI, 2 : « Invisitatum inauditum, ferum barbarum. »

8-9. Χαλκιδέας.... ἢ Μεγαρέας. Cf. § 17 sq. et *Cherson.* § 18. Il résulte de ces passages que ces deux villes étaient alors, comme Athènes, brouillées avec Philippe et qu'elles se trouvaient tout particulièrement exposées à ses coups. C'est sans doute vers ce temps que fut conclue par Démosthène l'alliance entre Chalcis et Athènes, dont parle Eschine, *Contre Ctés.* § 92.

10. Ἀγαπητὸν γὰρ ...ἑκάστοις, chacun de ces peuples doit se trouver trop heureux.

12-13. Ἐκτήσαντο καὶ κατέλιπον μετὰ.... κινδύνων. Le complément ne porte que sur le premier des deux verbes. Cf. la tournure plus logique : ἣν.... μετὰ πολλῶν καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον, *Olynth.* III, § 36. Voy. la note sur καὶ κατηγορίαι, § 72.

13-16. Ὃ βούλεται, ce qu'il désire. Cf. *Olynth.* III, § 19. — Καθεδεῖται. Cf. *Olynth.* II, § 23 : Καθήμεθ' οὐδὲν ποιοῦντες. — Οὐδὲ μή ποθ' εὕρῃ, on ne peut pas même s'attendre qu'il trouve jamais. Cf. *Phil.* I, § 44 : Οὐδέποτ' οὐδὲν ἡμῖν οὐ μὴ γένηται τῶν δεόντων. — Δέδοιχ' ὅπως.... γένηται. Cf. *Olynth.* I, 15 :

[76] Ἐγὼ μὲν δὴ ταῦτα λέγω, ταῦτα γράφω· καὶ οἴομαι καὶ νῦν ἔτι ἐπανορθωθῆναι ἂν τὰ πράγματα τούτων γιγνομένων. Εἰ δέ τις ἔχει τούτων βέλτιον, λεγέτω καὶ συμβουλευέτω. Ὅ τι δ' ὑμῖν δόξει, τοῦτ', ὦ πάντες θεοί, συνενέγκοι.

NC. 3. τούτων βέλτιον S. τούτων τι (ou τι τούτων) βέλτιον (ou τούτων βελτίω) vulg. — 4. δόξει. S δόξῃ. vulg. δόξειε.

Δέδοικα.... μὴ.... ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες πολλὰ καὶ χαλεπὰ ὧν οὐκ ἠβουλόμεθα ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν.

4. Ὅ τι δ' ὑμῖν δόξει.... συνενέγκοι. Les deux termes qui constituent la pensée se trouvent renversés, mais le vœu est au fond le même, à la fin de la première Philippique : Νικῴη δ' ὅ τι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.



ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ

Δ

NOTICE.

Denys assure que cette harangue fut prononcée sous l'archonte Nicomaque, c'est-à-dire dans la quatrième année d'Ol. CIX (en 341-340 avant J.-C.), et voici comment il en indique le sujet, s'il faut en croire les manuscrits : « Démosthène y *a discouru* sur la violation de la paix par Philippe et *engage* les Athéniens à envoyer des secours à Byzance[1]. » Cette dernière assertion est assez étrange; mais la date ne saurait guère être déterminée autrement par ceux qui considèrent ce discours comme authentique. L'Eubée est encore au pouvoir des partisans de Philippe (§ 68), Clitarque est toujours tyran d'Érétrie, en face de l'Attique (§ 8), Philistide et le parti macédonien dominent à Orée (§ 9). Or Érétrie fut affranchie par Phocion en 340[2]; la ville d'Orée l'avait déjà été plus tôt, probablement dès la fin de 341[3], grâce aux efforts combinés d'Athènes, de Chalcis et de Mégare. Ces entreprises marquent le premier réveil des Athéniens, arrachés enfin par Démosthène[4] au sommeil narcotique dont il est question dans l'exorde de cette harangue. Nous sommes donc ramenés à la première moitié de l'année attique indiquée par Denys (seconde moitié de l'année chrétienne 341), et il est d'autant plus difficile de comprendre comment cet auteur aurait pu lire entre les lignes le conseil de secourir Byzance. Le nom de cette ville n'est prononcé qu'une seule fois dans ce discours (§ 68); l'orateur y dit, ce qu'il avait déjà assuré dans les deux discours précédents[5], que Philippe se dispose à marcher contre Byzance. Mais nous savons, par Philochoros[6], que cette prévision ne se réalisa que plus tard; les siéges de Périnthe et de Byzance eurent lieu sous l'archonte suivant (seconde moitié de

1. *Lettre à Ammée*, I, 10, 6 : Μετὰ Σωσιγένην ἄρχων ἐστὶ Νικόμαχος ἐφ' οὗ τὴν ἑνδεκάτην δημηγορίαν διελήλυθε περὶ τοῦ λελυκέναι τὴν εἰρήνην Φίλιππον, καὶ τοὺς Ἀθηναίους πείθει Βυζαντίοις ἀποστεῖλαι βοήθειαν, ἧς ἐστιν ἀρχή · « Καὶ σπουδαῖα νομίζων, ὦνδρες Ἀθηναῖοι. » Il faut sans doute insérer ailleurs les mots καὶ .. βοήθειαν. Voy. mon édition, p. 20.

2. Scholiaste d'Eschine, *Contre Ctésiphon*, § 103 (éd. Schultz, 1865) : Ἐπὶ ἄρχοντος Νικομάχου, Φιλίππου βασιλεύοντος ἔτος εἰκοστὸν, Ἀθηναῖοι στρατεύσαντες εἰς Εὔβοιαν Φωκίωνος στρατηγοῦντος τόν τε τύραννον τῶν Ἐρετριέων Κλείταρχον ἀπέκτειναν καὶ τὴν πόλιν τοῖς Ἐρετριεῦσι παρέδωκαν καὶ δημοκρατίαν κατέστησαν. Cf. Diodore, XVI, 74.

3. Voir A. Schæfer, II, p. 458.

4. Cf. *Couronne*, §§ 79 et 81.

5. Voir *Cherson.* § 66. *Phil.* III, 35.

6. *Lettre à Ammée*, I, 11 : « Θεόφραστος Ἀλαιεύς · ἐπὶ τούτου Φίλιππος τὸ μὲν πρῶτον ἀναπλεύσας Περίνθῳ προσέβαλεν · ἀποτυχὼν δ' ἐντεῦθεν Βυζάντιον ἐπολιόρκει καὶ μηχανήματα προσῆγεν. » Diodore, avec sa négligence habituelle, antidate d'un an les siéges de ces deux villes.

Θόας και Αγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν πόλιν (καὶ ταῦτ' ᾔδεσαν ἅπαντες), Εὐφραῖος δέ τις, ἄνθρωπος καὶ παρ' ἡμῖν ποτ' ἐνθάδ' οἰκήσας, ὅπως ἐλεύθεροι καὶ μηδενὸς δοῦλοι ἔσονται. [60] Οὗτος τὰ μὲν ἄλλ' ὡς ὑβρίζετο καὶ προυπηλακίζεθ' ὑπὸ τοῦ δήμου, πόλλ' ἂν εἴη λέγειν· ἐνιαυτῷ δὲ πρότερον τῆς ἁλώσεως ἐνέδειξεν ὡς προδότην τὸν Φιλιστίδην καὶ τοὺς μετ' αὐτοῦ, αἰσθόμενος ἃ πράττουσιν. Συστραφέντες δ' ἄνθρωποι πολλοὶ καὶ χορηγὸν ἔχοντες Φίλιππον καὶ πρυτανευόμενοι, ἀπάγουσι τὸν Εὐφραῖον εἰς τὸ δεσμωτήριον ὡς συνταράττοντα τὴν πόλιν. [61] Ὁρῶν δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν Ὠρειτῶν, ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς δ' ἀποτυμπανίσαι, τοῖς μὲν οὐχ ὠργίζετο, τὸν δ' ἐπιτήδειον ταῦτα παθεῖν ἔφη καὶ ἐπέχαιρεν. Μετὰ ταῦθ' οἱ μὲν ἐπ' ἐξουσίας ὁπόσης ἐβούλοντ' ἔπραττον ὅπως ἡ πόλις ληφθήσεται, καὶ κατεσκευάζοντο τὴν πρᾶξιν· τῶν δὲ πολλῶν εἴ τις αἴσθοιτο, ἐσίγα καὶ κατεπέπληκτο, τὸν Εὐφραῖον οἷ' ἔπαθε μεμνημένοι. Οὕτω δ' ἀθλίως διέκειντο,

NC. 2. ἡμῖν S et L. ὑμῖν vulg. — 5. δήμου S et L[1]. δήμου τοῦ τῶν Ὠρειτῶν vulg. — 8. πρυτανευόμενοι S[1] et L[1] seuls. πρυτανευόμενοι παρ' ἐκείνου (ou παρ' αὐτοῦ) vulg. — 12. ἐπιτήδειον S et L. ἐπιτήδειον εἶναι vulg. — 13. ἔπραττον. S (non L) : εισπραττον. — 16. μεμνημένοι S et L. μεμνημένος vulg. — διέκειντο τῷ φόβῳ A.

τὰ πράγματα ἐπὶ Φίλιππον, il agissait, il travaillait, pour Philippe. On cite Thucydide, V, 76 : Οἱ ἄνδρες οἱ τοῖς Λακεδαιμονίοις πράσσοντες.

2. Καὶ παρ' ἡμῖν. Euphræos avait été disciple de Platon, et s'était trouvé, grâce à ce philosophe, en relation intime avec la famille royale de Macédoine. Envoyé par Platon près de Perdiccas, il essaya, peut-être d'une manière trop pédantesque, d'initier ce prince à la doctrine de son maître et de monter sa cour sur un pied philosophique. C'est d'après son conseil, dit-on, que Perdiccas confia au jeune Philippe le gouvernement d'une province : mesure qui fut la cause première de l'étonnante fortune de ce grand homme. Après avoir vu de près la cour de Macédoine et y avoir fait sans doute de tristes expériences, le disciple de Platon devint dans sa patrie l'adversaire le plus ardent de l'influence macédonienne. Cf. Harpocration, art. Εὐφραῖος, et Carystios de Pergame chez Athénée, XI, p. 506 E et 508 E.

5. Πρότερον est employé pour πρό, comme ὕστερον pour μετά.

8. Καὶ χορηγὸν.... καὶ πρυτανευόμενοι, à la fois soudoyés et dirigés par Philippe. Harpocration interprète πρυτανευόμενοι par διοικούμενοι καὶ διατρεφόμενοι. Cette dernière explication convient à χορηγὸν ἔχοντες. Cf. *Rhodiens*, § 3 ; *Paix*, § 6.

11-16. Τῷ μὲν.... τοὺς δ(ὲ).... τοῖς μὲν.... τὸν δὲ. Suivant l'habitude des anciens, l'orateur reprend son énumération dans l'ordre inverse. Voy. notre observation sur κρίνει δημεύει δίδωσι κατηγορεῖ, *Cherson*. § 69. — Ἐπ' ἐξουσίας ὁπόσης (pour ἐφ' ὁπόσης, ou ὁπόσην) ἐβούλοντο. Cf. § 25 : Ἐν ἔτεσιν οἷς ἐπιπολάζει. — Κατεσκευάζοντο τὴν πρᾶξιν, achevaient de préparer l'exécution du complot. — Μεμνημένοι. Ce pluriel, tout à fait conforme à l'usage, s'accorde, non avec la for

ὥστ' οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προσιόντος ῥῆξαι φωνήν, πρὶν διασκευασάμενοι πρὸς τὰ τείχη προσῄεσαν οἱ πολέμιοι· τηνικαῦτα δ' οἱ μὲν ἠμύνοντο, οἱ δὲ προυδίδοσαν. [62] Τῆς δὲ πόλεως οὕτως ἁλούσης αἰσχρῶς καὶ κακῶς οἱ μὲν ἄρχουσι καὶ τυραννοῦσι, τοὺς τότε σῴζοντας ἑαυτοὺς καὶ τὸν 127 Εὐφραῖον ἑτοίμους ὁτιοῦν ποιεῖν ὄντας τοὺς μὲν ἐκβαλόντες, 6 τοὺς δ' ἀποκτείναντες, ὁ δ' Εὐφραῖος ἐκεῖνος ἀπέσφαξεν ἑαυτόν, ἔργῳ μαρτυρήσας ὅτι καὶ δικαίως καὶ καθαρῶς ὑπὲρ τῶν πολιτῶν ἀνθειστήκει Φιλίππῳ.

[63] Τί οὖν ποτ' αἴτιον, θαυμάζετ' ἴσως, τὸ καὶ τοὺς Ὀλυνθίους καὶ τοὺς Ἐρετριέας καὶ τοὺς Ὠρείτας ἥδιον πρὸς τοὺς ὑπὲρ Φιλίππου λέγοντας ἔχειν ἢ τοὺς ὑπὲρ αὑτῶν; Ὅπερ καὶ παρ' ὑμῖν, ὅτι τοῖς μὲν ὑπὲρ τοῦ βελτίστου λέγουσιν οὐδὲ βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν οὐδὲν εἰπεῖν· τὰ γὰρ πράγματ' ἀνάγκη σκοπεῖν ὅπως σωθήσεται· οἱ δ' ἐν αὐτοῖς οἷς χαρίζονται Φιλίππῳ συμπράττουσιν.

NC. 4. τῆς δὲ πόλεως. Variante (dont une trace s'est conservée dans S) : τῆς πόλεως δ'. — 5. Ponctuation vicieuse : τυραννοῦσι τοὺς τότε σῴζοντας ἑαυτοὺς (variantes : αὑτοὺς et αὐτοὺς).... — 8. καὶ δικαίως S et L. δικαίως vulg. — 10. τὸ S, L, et tous les manuscrits importants. τοῦ vulg. — ἢ πρὸς τοὺς Cobet. — 13. παρ' ὑμῖν νῦν ἐστιν A.

me grammaticale, mais avec le sens de la phrase εἴ τις αἴσθοιτο.

2. Ῥῆξαι φωνήν. « Significanter dic« tum. *Loqui, tanquam ruptis vinculis,* « *quibus timor vocem constrinxerat.* » [G. H. Schæfer.] On rapproche Hérodote, I, 85 : Ὁ δὲ παῖς οὗτος ὁ ἄφωνος.... ὑπὸ δέους τε καὶ κακοῦ ἔρρηξε φωνήν. Virgile, *Énéide,* II, 126-129 : « Bis qui« nos silet ille dies.... Vix tandem.... rum« pit vocem. » — Διασκευασάμενοι, s'étant armés et rangés en bataille.

5-8. Τοὺς τότε σῴζοντας ἑαυτούς, ceux qui les avaient épargnés alors (qu'Euphrée les accusait de trahison). Le participe présent répond à l'imparfait. — Τοὺς μὲν.... τοὺς δ(ὲ).... est amené après τούς (non τῶν) comme subdivision appositive. En latin *partim.... partim.* Cf. *Phil.* II, § 11. — Ἀπέσφαξεν ἑαυτόν. C'est qu'il était tombé au pouvoir des Macédoniens, ennemis peu disposés à épargner sa vie. Cela résulte du récit de Carystios chez Athénée, *l. c.* Cet auteur ajoute que Parménion mit à mort son prisonnier. Sur ce point, il convient d'en croire de préférence un orateur qui ne dit pas tout, il est vrai, mais qui était trop voisin des faits pour en être mal instruit ou pour les altérer. — Καθαρῶς, par des motifs purs et désintéressés.

10. Τί οὖν ποτ' αἴτιον.... τό, équivalant à τοῦ. Cf. *Cherson.* § 56, avec la note.

14-16. Οὐδὲ βουλομένοις ἔνεστιν, quand même ils le voudraient, ils ne le peuvent. Cf. Tite Live, III, LXVIII, 9 : « Vellem « equidem vobis placere, Quirites; sed « multo malo vos salvos esse, qualicunque « erga me animo futuri estis. » [Rehdantz.] — Ἐν αὐτοῖς οἷς χαρίζονται, dans les choses mêmes par lesquelles ils se rendent agréables au peuple, dans leurs complaisances mêmes. A une époque plus tardive on eût dit : ἐν αὐτοῖς τοῖς χαρίσμασιν. Cf. *Mégalopol.* § 13 : Ὧν ἐσώθησαν pour τῆς σωτηρίας.

[64] Εἰσφέρειν ἐκέλευον, οἱ δ' οὐδὲν δεῖν ἔφασαν· πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ' ἄγειν εἰρήνην — ἕως ἐγκατελήφθησαν. Τἆλλα τὸν αὐτὸν τρόπον οἶμαι πάνθ', ἵνα μὴ καθ' ἕκαστα λέγω· οἱ μὲν ἐφ' οἷς χαριοῦνται, ταῦτ' ἔλεγον, οἱ δ' ἐξ ὧν ἔμελλον σωθήσεσθαι. Πολλὰ δὲ καὶ τὰ τελευταῖα οὐχ οὕτως πρὸς χάριν οὐδὲ δι' ἄγνοιαν οἱ πολλοὶ προσίεντο, ἀλλ' ὑποκατακλινόμενοι, ἐπειδὴ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον. [65] Ὃ νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω δέδοικ' ἐγὼ μὴ πάθηθ' ὑμεῖς, ἐπειδὰν εἰδῆτ' ἐκλογιζόμενοι μηδὲν ἔθ' ὑμῖν ἐνόν. Καίτοι μὴ γένοιτο μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ πράγματ' ἐν τούτῳ· τεθνάναι δὲ μυριάκις κρεῖττον ἢ κολακείᾳ τι ποιῆσαι Φιλίππου [καὶ προέσθαι τῶν ὑπὲρ ὑμῶν λεγόντων τινάς]. [66] Καλήν γ' οἱ πολλοὶ νῦν ἀπειλήφασιν Ὠρειτῶν χάριν, ὅτι τοῖς

NC. 4. χαριοῦνται S et L[1]. ἤδη χαριοῦνται vulg. — 4-5. Dans plusieurs manuscrits interpolés, ἔλεγον est suivi de καὶ ἐλύπουν οὐδέν, et σωθήσεσθαι, de προσῆσαν δ' ἀπέχθειαι. — 6. πρὸς χάριν οὐδέ L seul, et Rehdantz. οὐδὲ πρὸς χάριν οὐδὲ S. οὔτε πρὸς χάριν οὔτε vulg. — προσίεντο S et L. προΐεντο (ou προΐεντο ἑαυτοὺς ou προεῖντο) vulg. — 8. ἐγώ S et L. ἔγωγε vulg. — 9. ἐκλογιζόμενοι S et L[1]. λογιζόμενοι quelques manuscrits. ἐκ λογισμοῦ vulg. — ἔθ' ὑμῖν conjecture de Franke. ἐν ὑμῖν S et L. ὑμῖν vulg. — Après ἐνόν la vulgate ajoute : καὶ τοὺς εἰς τοῦθ' ὑπάγοντας ὑμᾶς ὁρῶν οὐκ ὀρρωδῶ, ἀλλὰ δυσωποῦμαι· ἢ (ou ἣ) γὰρ ἐξεπίτηδες ἢ (Spengel : οὐ) δι' ἄγνοιαν εἰς χαλεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν. Cette mauvaise interpolation, qui manque dans le texte de S, dans L, B, Y, semble avoir été connue d'Harpocration (art. δυσωποῦμαι et ὑπάγουσιν), ainsi que d'autres lexicographes grecs. — 10. ὦ ἄνδρες Ἀθηναῖοι. S et L[1] : ὡς. — 11. δὲ S et L. γὰρ vulg. — φιλίππου S et L[1]. Φιλίππῳ vulg. — 12. καὶ προέσθαι.... τινάς (ou τινά). Ces mots manquent dans S et L[1] seuls.

1-2. Εἰσφέρειν ἐκέλευον, οἱ δ(ὲ).... L'orateur supprime οἱ μέν dans le premier membre de phrase. C'est qu'il voit tout d'abord le mot, l'idée, qui importe : εἰσφέρειν, « s'imposer », et plus loin πολεμεῖν καὶ μὴ πιστεύειν : choses que Démosthène demande à Athènes, comme les patriotes les avaient demandées à Olynthe, à Érétrie, à Oréos. Ces ellipses sont fréquentes chez les poëtes. Cf. Euripide, *Hécube*, 28 : Κεῖμαι δ' ἐπ' ἀκτῆς, ἄλλοτ' ἐν πόντου σάλῳ, et *passim*.

4-7. Ταῦτ(α). Ce démonstratif, qui se réfère à ἐφ' οἷς, est ajouté pour mieux marquer l'antithèse (cf. οὕτω, *Cherson.* § 61, et *passim*), peut-être aussi pour éviter l'hiatus. — Οὐχ οὕτως, « non tant, » est suivi, par une tournure vive, de ἀλλ(ά), au lieu de ὡς. — Πρὸς χάριν veut dire ici « par complaisance pour eux-mêmes, par amour du plaisir ». En effet le sujet de la phrase est οἱ πολλοί, « le peuple. » — Προσίεντο, ils admirent, ils laissèrent faire. — Ὑποκατακλινόμενοι, « cédant la place, » équivaut à ὑποκλίνοντες, ὑποχωροῦντες. Platon, *Rép.* I, 336 E, emploie ὑποκατακλίνεσθαι et ὑπείκειν comme synonymes.

9. Μηδὲν ἔθ' ὑμῖν ἐνόν, qu'il ne vous est plus possible de rien faire.

11. Τεθνάναι δέ équivaut à εἰ δὲ τὰ πράγματα γένοιτο ἐν τούτῳ (ἔλθοι ἐς τοῦτο, si les choses en venaient à ce point), τεθνάναι....

13. Ὠρειτῶν L'orateur commence par ceux dont il avait parlé en dernier lieu, et remonte ensuite aux Érétriens et aux Olyn-

Φιλίππου φίλοις ἐπέτρεψαν αὐτούς, τὸν δ' Εὐφραῖον ἐώθουν· καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς [μὲν] ὑμετέρους πρέσβεις ἀπήλασεν, Κλειτάρχῳ δ' ἐνέδωκεν αὐτόν· δουλεύουσί γε μαστιγούμενοι καὶ σφαττόμενοι. Καλῶς Ὀλυνθίων ἐφείσατο τῶν τὸν μὲν Λασθένη ἵππαρχον χειροτονησάντων, τὸν δ' Ἀπολλωνίδην ἐκβαλόντων. [67] Μωρία καὶ κακία τὰ τοιαῦτ' ἐλπίζειν, καὶ κακῶς βουλευομένους καὶ μηδὲν ὧν προσήκει ποιεῖν ἐθέλοντας, ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων ἀκροωμένους, τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος ὥστε μηδ' ἂν ὁτιοῦν ᾖ δεινὸν πείσεσθαι. [68] Καὶ μὴν ἐκεῖνό γ' αἰσχρόν, ὕστερόν ποτ' εἰπεῖν « Τίς γὰρ ἂν ᾠήθη ταῦτα γενέσθαι; « Νὴ τὸν Δία, ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι καὶ τὸ μὴ ποιῆσαι. » Πόλλ' ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι νῦν, ἃ τότ' εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκαστοι. [69] Ἀλλὰ τί τούτων ὄφελος αὐτοῖς; Ἕως ἂν σῴζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ,

NC. 2. μὲν ὑμετέρους S. ὑμετέρους L[1] seul. ὑμετέρους μὲν vulg. — 3. ἀπήλασεν S. — 4. σφαττόμενοι S[1], A, L. στρεβλούμενοι vulg. δουλεύουσι γὰρ (Graux) et καλῶς γ' Herwerden. — 7. καὶ, avant κακῶς, manque dans F. — βουλευομένους αὐτοὺς vulg. — 10. Dindorf, d'après la conjecture de Seager : μηδὲν, μηδ'. — ᾖ est omis dans plusieurs manuscrits. — ἐκεῖνο. Variante : κἀκεῖνο. — 11. εἰπεῖν S et L[1] seuls. εἰπεῖν συμβάντος τινός vulg. — 12. καὶ τὸ μὴ ποιῆσαι. Dindorf, d'après G. H. Schæfer : καὶ τὸ καὶ τὸ μὴ ποιῆσαι. — 14. πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς, πολλά. Comme Démosthène revient au § 63 et au § 66 sur les trois exemples qu'il a cités un peu plus haut, Spengel propose : πόλλ' ἂν Ἐρετριεῖς, πόλλ' ἂν Ὠρεῖται, πόλλ' ἄν.

thiens, en suivant l'ordre inverse de l'énumération qui précède. C'est l'usage des anciens : ils vont du plus voisin au plus éloigné. Cf. p. 346, l. 11.

2-3. Ὑμετέρους πρέσβεις. Dans le discours pour la Couronne, § 79, Démosthène parle d'une ambassade athénienne envoyée en Eubée sur sa proposition.

5. Λασθένη ἵππαρχον. Cf. § 56.

6-7. Τὰ τοιαῦτ(α) ἐλπίζειν, nourrir de telles espérances, c'est-à-dire espérer que Philippe traitera avec douceur un peuple qui aura fait des bassesses pour lui plaire.

10. Μηδ' ἂν ὁτιοῦν ᾖ, non pas, quoi qu'il arrive. On rapproche, *Ambassade*, § 324 : Οὗτοι δὲ τοιαῦτ' ἀπαγγελοῦσι.... ἐξ ὧν μηδ' ἂν ὁτιοῦν ᾖ κινηθήσονται.

12. Τὸ καὶ τό, ceci et cela. Pindare lui-même n'a pas dédaigné de se servir dans ses Odes de cette locution familière. Cf. *Olymp*. II, 99 : « Ὁ.... πλοῦτος.... φέρει τῶν τε καὶ τῶν καιρόν. *Pyth*. V, 74 : Ὄλβος.... τὰ καὶ τὰ νέμων.

14. Πολλὰ Φωκεῖς. Voir *NC*.

16. Ἕως ἂν σῴζηται (se maintient sain et sauf) τὸ σκάφος. Cf. l'allégorie d'Alcée (fr. 18 Bergk), imitée par Horace, *Odes*, I, 14 : Τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται, Τὸ δ' ἔνθεν· ἄμμες δ' ἂν τὸ μέσσον νᾶϊ φορήμεθα σὺν μελαίνᾳ, ainsi que les vers de Sophocle, *Ant*. 189 : Ἥδ' (ἡ χθὼν) ἐστὶν ἡ σῴζουσα, καὶ ταύτης ἔπι Πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα, vers auxquels Démosthène lui-même fait allusion dans le discours sur l'*Ambassade*, § 249. — Ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ.

Démosthène fait entrer dans cette harangue un beau passage d'un discours judiciaire écrit par lui trois ans auparavant à l'usage d'un client; mais en reprenant un morceau qu'il n'avait pas encore prononcé lui-même, il reprend un bien prêté à autrui; et il le modifie, il l'approprie à la circonstance, le rend plus énergique, plus incisif. Ce morceau, d'ailleurs, répété après trois ans, ne dépasse pas la valeur d'une page. Ici, au contraire, on voit, après un intervalle assez court (d'environ six ou sept mois, ce semble), revenir des développements très-étendus, plus d'un tiers de la harangue. Le scholiaste imagine que, pris à l'improviste par une nouvelle grave, Démosthène n'avait pas le temps de préparer un discours nouveau. Cette supposition est gratuite (l'orateur ne fait allusion à aucune nouvelle de ce genre); elle part, de plus, d'une bien pauvre idée du talent de Démosthène. M. Benseler croyait autrefois[1] que les morceaux empruntés à un discours antérieur étaient des interpolations faciles à retrancher; plus tard[2] il a abandonné lui-même cette conjecture peu probable. M. Spengel, retournant l'ancienne thèse de M. Benseler, soupçonne que les morceaux communs aux deux discours devraient être supprimés dans celui qui roule sur les affaires de la Chersonèse[3]. Nous n'oserions amputer ainsi un corps vivant et bien constitué. Ces morceaux sont des parties intégrantes de la harangue sur la Chersonèse; pour s'en convaincre, il suffit de lire la récapitulation qui la termine[4].

Une autre idée m'avait séduit. Je croyais devoir distinguer entre les deux morceaux répétés. Le premier (§ 11-27) me semblait, dans ses variantes et modifications, inférieur au morceau correspondant de l'autre discours. A vrai dire, ces modifications sont peu importantes, sauf une seule. Grâce à un développement nouveau, les paragraphes 17-21 ont pris la place d'un seul paragraphe (46) de la harangue sur la Chersonèse. Les idées y sont bonnes, appropriées à la circonstance et à la situation personnelle de l'orateur; mais j'en trouve l'expression un peu embarrassée, un peu obscure. Au contraire, le second morceau répété (55-70), outre des variantes heureuses, est augmenté d'une introduction qui le complète et l'arrondit (§ 46-54), et qui renferme un tableau des plus remarquables de la déchéance de la Grèce, de son triste morcellement et, en particulier, de l'isolement d'Athènes (§ 51-53). Il est bien difficile de ne pas reconnaître la main de Démosthène dans ces remaniements. On sait combien cet orateur soignait ses discours; il les travaillait avant de les publier, et quelquefois il les corrigeait encore après la publication. La troisième Philippique nous en a offert

1. Benseler, *De hiatu*, p. 78.

2. Dans son édition. Il y suppose que la quatrième Philippique a été publiée sous le nom de Démosthène par un contemporain qui essayait de donner le change au public sur certaines opinions du grand orateur.

3. Spengel, *Die Δημηγορίαι des Demostenes*, p. 106.

4. Cf. *Cherson.* § 76. Les mots ἐπανορθοῦντες εἴ τι μὴ καλῶς ἔχει ne s'expliquent que par les §§ 47 et 54. Les mots τοὺς.... δωροδοκοῦντας κολάζειν se réfèrent au § 61 et aux suivants.

un exemple intéressant, et le recueil des *Exordes* pourrait en fournir d'autres. Je regardais donc le deuxième morceau comme une rédaction revue et corrigée par l'auteur, et le premier comme une ébauche encore imparfaite des morceaux correspondants de la harangue sur la Chersonèse. Trouvés l'un et l'autre dans les papiers de Démosthène, je pensais qu'ils avaient été réunis, par une main inconnue, à d'autres fragments, de manière à présenter au lecteur un corps de discours assez suivi.

Cependant je ne méconnais pas que cette hypothèse est sujette à des objections. Dans la belle introduction mise en tête du second morceau répété, c'est-à-dire dans la partie nouvelle de notre numéro V, on lit (au § 52) une phrase qui établit un lien entre ce morceau et le numéro III. C'est une allusion à ce que l'auteur a dit plus haut des rapports d'Athènes avec le roi de Perse, allusion tout à fait inintelligible, si les deux morceaux n'avaient pas primitivement fait partie du même discours. D'un autre côté le morceau V, parfaitement suivi, sinon indivisible [1], se rattache d'une manière toute particulière au numéro VI. L'emprunt fait au discours sur la Chersonèse ne s'arrête pas à la fin de V, mais il s'étend, par une espèce d'enjambement, jusqu'au début de VI. La même période qui avait préparé, dans le discours antérieur, un morceau dans lequel Démosthène mêlait à sa propre apologie une attaque vive, mais générale, contre ses adversaires politiques, cette période sert ici à amener une sortie violente et toute personnelle contre un certain Aristomède. Au premier abord, la transition peut même sembler plus satisfaisante dans la quatrième Philippique; cependant l'enchaînement des idées, pour être un peu plus caché dans la harangue sur la Chersonèse, n'en est pas moins réel; nous l'avons fait voir dans notre commentaire. Quant à l'invective contre Aristomède, elle est, il est vrai, sans analogue dans les harangues de Démosthène. Quand il traite les affaires de la cité devant le peuple assemblé, cet orateur s'impose plus de réserve que lorsqu'il plaide une cause devant les juges; il ne désigne point par leurs noms les adversaires qu'il combat. Plutarque [2] a déjà fait cette observation, dont les critiques modernes n'ont pas manqué de se servir. L'argument est spécieux : cette sortie personnelle tranche avec les habitudes de Démosthène. Mais elle est admirablement écrite; par la véhémence, par l'âpreté, par un certain art perfide, elle rappelle quelques morceaux des plaidoyers contre Eschine. Tout en m'étonnant de la rencontrer dans une harangue, je ne puis me persuader qu'elle soit d'un faussaire. Or, cette invective se trouvant rattachée au morceau

1. On pourrait se passer à la rigueur des trois premiers paragraphes (46-48) ; cependant ils se lient très-bien aux paragraphes suivants, et je ne vois pas pourquoi on les en détacherait.

2. Plutarque, *Préceptes politiques*, ch. 14 : Δημοσθένης ἐν τῷ δικανικῷ τὸ λοίδορον ἔχει μόνῳ, οἱ δὲ Φιλιππικοὶ καθαρεύουσι καὶ σκώμματος καὶ βωμολοχίας ἁπάσης.

précédent, nous avons un ensemble assez étendu depuis le § 46 jusqu'au § 74, ensemble qui se relie à son tour, nous l'avons dit, par une allusion évidente à notre numéro III, c'est-à-dire à la partie la plus incontestablement authentique de toute cette harangue.

La péroraison, courte comme dans les autres harangues, ne résume pas les idées principales émises par l'orateur. Cela est fâcheux pour la question qui nous occupe, mais cela n'est pas sans exemple; la première Philippique ne se termine pas non plus par un résumé. D'ailleurs cette péroraison ne se rattache pas mal à ce qui précède; mais, toute courte qu'elle est, elle manque d'unité, et les idées ne s'y suivent pas bien. On dirait que deux passages parallèles y ont été réunis ou plutôt enchevêtrés l'un dans l'autre.

D'autres indices encore semblent accuser la main d'un arrangeur. La transition du numéro II au numéro III est artificielle : elle s'annonce comme une gradation, mais c'est plutôt une chute. En effet, elle est précédée du premier des deux morceaux empruntés au discours sur la Chersonèse. En passant des adjurations pathétiques et des nobles accents qui terminent ces pages, aux §§ 28-30, qui servent d'introduction au morceau suivant, on est étonné et désappointé. De plus, on y trouve une allusion à un fait récent, à une situation des plus graves et que les pages précédentes n'avaient pas fait soupçonner[1]. M. Blass[2] juge avec raison que ces paragraphes ressemblent à l'exorde d'une harangue peu heureusement soudé au passage après lequel on l'a placé.

Il ne reste plus à examiner qu'un seul morceau, le numéro IV. Ce morceau soulève les doutes les mieux fondés ; car il est en contradiction flagrante avec la politique générale de Démosthène. Dans les *Olynthiennes*, l'orateur avait adjuré ses concitoyens de renoncer en temps de guerre aux distributions d'argent et de consacrer les revenus publics à la défense de la patrie. Ici Démosthène se fait le défenseur de ces mêmes distributions. Toutefois huit ans se sont écoulés depuis la guerre d'Olynthe, et s'il n'y avait que ces anciennes harangues, on pourrait admettre sans difficulté un de ces changements d'opinion dont la vie de beaucoup d'hommes d'Etat, tant anciens que modernes, offre des exemples. Mais il semble que Démosthène n'a pas varié sur ce point. Dans un discours, qui a d'ailleurs beaucoup de rapports avec la quatrième Philippique et qui la précéda de peu, l'orateur indique en passant, mais très-nettement, qu'il considère toujours comme un grave abus ce gaspillement du trésor[3]. Deux ans plus tard, au moment de la lutte suprême, Démosthène obtint des Athéniens (et c'est là peut-être le plus noble succès de son éloquence) de consacrer à la

1. Cf. § 29 : Πρὶν ἂν ὥσπερ νῦν, αὐτὰ παρῇ τὰ πράγματα.
2. Blass, *Att. Bereds.*, III, 1, p. 342.
3. Voir *Cherson.* § 21 : Ἡμεῖς οὔτε.... οὔτε τῶν κοινῶν ἀπέχεσθαι δυνάμεθα. § 23 : Εἰ γὰρ μήτ' εἰσοίσετε, μήτ' αὐτοὶ στρατεύσεσθε, μήτε τῶν κοινῶν ἀφέξεσθε... οὐκ ἔχω τί λέγω.

guerre les fonds qui, sous le nom de Théorique, étaient destinés au bien-être et aux plaisirs du peuple[1]. Comment croire que, dans l'intervalle, Démosthène ait pris fait et cause pour cet abus, le déclarant une institution salutaire, taxant de malveillance ceux qui osaient le décrier, approuvant même les riches qui ne rougissaient pas de prendre leur part dans ces distributions. Le scholiaste croit pouvoir expliquer cette inconséquence par la mort d'Eubule[2]. A l'entendre, Démosthène n'avait attaqué le Théorique que parce l'homme puissant auquel il voulait arracher le pouvoir, le défendait. On ne voit pas bien si le scholiaste donne la mort d'Eubule comme un fait, ou comme une conjecture. Quoi qu'il en soit, l'histoire atteste de la manière la plus éclatante que notre orateur, quand il fut arrivé au pouvoir, ne s'en servit point pour faire comme son ancien rival, mais pour marcher dans une tout autre voie, celle-là même qu'il s'était tracée dès le début de sa carrière politique.

Cependant, il faut le dire, s'il est difficile d'attribuer ce morceau à Démosthène, il n'est guère plus facile de le mettre sur le compte d'un faussaire. Les faiseurs de pastiches essayent d'imiter aussi bien que possible l'auteur dont ils prennent le masque; ils ne se mettent pas en contradiction avec ses opinions les plus connues. L'impression que je reçois en lisant ce morceau, c'est qu'il n'a été écrit ni par Démosthène ni sous le nom de Démosthène, mais contre Démosthène. Serait-ce le fragment d'un discours auquel notre orateur se proposait de répondre, fragment égaré parmi ses papiers, et, après sa mort, mal à propos inséré dans cette harangue? Ou bien, serait-ce une ébauche jetée sur le papier par l'orateur lui-même? Est-il possible d'imaginer des motifs qui auraient pu engager Démosthène à tenir un langage ou à projeter un discours si peu d'accord avec ce que nous savons d'ailleurs de ses paroles et de ses actes?

Disons d'abord que Démosthène n'a jamais proposé la suppression absolue du théorique; il veut qu'on le suspende en temps de guerre, mais il demande qu'alors même l'Etat ne cesse pas de venir en aide aux citoyens pauvres. L'Etat payera ceux qui s'acquitteront envers lui de fonctions utiles, et particulièrement du service militaire[3]. Le service personnel des citoyens et la suspension du théorique sont deux choses inséparables dans la pensée de Démosthène. Or, dans cette harangue, comme dans les deux précédentes, Démosthène demande des contributions aux citoyens qui peuvent en donner; il ne demande pas qu'ils partent eux-mêmes pour la guerre. Le moment ne lui en semblait pas encore venu. Il ne pouvait donc pas proposer non plus de renoncer aux distributions d'argent; il le pouvait d'autant moins

1. Cf. Philochoros chez Denys d'Halicarnasse, *Lettre à Ammée*, I, 11 : Λυσιμαχίδης Ἀχαρνεύς. Ἐπὶ τούτου τὰ μὲν ἔργα.... τὰ δὲ χρήματ' ἐψηφίσαντο πάντ' εἶναι στρατιωτικά.

2. Scholies, p. 203, l. 21 Dind. : Εἴτε Εὐβούλου τελευτηκότος, πρὸς ὃν εἶχε φιλονείκως περὶ τῶν θεωρικῶν, εἴτε τὸν σκοπὸν τὸν ἑαυτοῦ συμπεραίνων.

3. Cf. *Olynth.* III, 34 sq.

12-14. Ἐν ἡλικίᾳ, dans la force de l'âge. Par rapport au service militaire, *Olynth.* I, 28 ; III, 34. — Τῶν ὄντων. Cf. τῶν ὄντων ἀνθρώπων, *Paix*, § 5 ; *Cherson.* § 58. — Οὐ φάσκοντα. L'accusatif du participe est mis par assimilation avec la phrase principale, malgré la conjonction ὥστε. Cf. Isocrate, *Panég.* § 64 : Φαίνονται δ' ἡμῶν οἱ πρόγονοι τοσοῦτον ἁπάντων διενεγκόντες, ὥστε.... Θηβαίοις.... ἐπιτάττοντες.

15-2. Τοῖς τῆς κακώσεως.... νόμοις.

142 νόμοις οὕτω γ' ἔνοχος· δεῖ γάρ, οἶμαι, τοῖς γονεῦσι τὸν ὡρισμένον ἐξ ἀμφοτέρων ἔρανον, καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τοῦ νόμου, δικαίως φέρειν καὶ ἑκόνθ' ὑποτελεῖν. [41] Ὥσπερ τοίνυν ἑνὸς ἡμῶν ἑκάστου τίς ἐστι γονεύς, οὕτω συμπάσης τῆς πόλεως κοινοὺς δεῖ γονέας τοὺς σύμπαντας ἡγεῖσθαι, καὶ προσήκει τούτους οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι, ἀλλ' εἰ καὶ μηδὲν ἦν τούτων, ἄλλοθεν σκοπεῖν ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται.

[42] Τοὺς μὲν τοίνυν εὐπόρους ταύτῃ χρωμένους τῇ γνώμῃ οὐ μόνον ἡγοῦμαι τὰ δίκαι' ἂν ποιεῖν, ἀλλὰ καὶ τὰ λυσιτελῆ· τὸ γὰρ τῶν ἀναγκαίων τινὰς ἀποστερεῖν κοινῇ κακόνους ἐστὶ ποιεῖν πολλοὺς ἀνθρώπους τοῖς πράγμασιν. Τοῖς δ' ἐν ἐνδείᾳ, δι' ὃ δυσχεραίνουσι τὸ πρᾶγμ' οἱ τὰς οὐσίας ἔχοντες καὶ κατηγοροῦσι δικαίως, τοῦτ' ἀφελεῖν ἂν συμβουλεύσαιμι. [43] Δίειμι δέ,

NC. 1. οὕτω γε S. οὗτος τότε vulg. — 5. τοὺς ⟨πρεσβυτέρους⟩ σύμπαντας Cobet. — 10. δίκαι' ἂν ποιεῖν Cobet. δίκαια ποιεῖν S. δ. ποιεῖν ἂν vulg. — 11. τινα S seul.

Les enfants qui maltraitaient leurs parents, qui ne les nourrissaient pas dans leur vieillesse, qui manquaient enfin aux devoirs de la piété filiale, étaient passibles des peines et infamies (ἀτιμίαι) qu'entraînait la κάκωσις γονέων. Dobree a rapproché un passage de Lysias (*Contre Agorate*, § 91), dans lequel les devoirs du citoyen sont assimilés, comme ici, aux devoirs du fils. Il s'agit d'un Athénien naturalisé qui a trahi sa patrie adoptive. Φησὶ μὲν ὑπὸ τοῦ δήμου <πεποιῆσθαι>, τὸν δὲ δῆμον, ὃν αὐτός φησι πατέρα αὑτοῦ εἶναι, φαίνεται κακώσας.... Ὅστις οὖν τόν τε γόνῳ πατέρα τὸν αὑτοῦ ἔτυπτε καὶ οὐδὲν παρεῖχε τῶν ἐπιτηδείων, τόν τε ποιητὸν πατέρα ἀφείλετο ἃ ἦν ὑπάρχοντα ἐκείνῳ ἀγαθά, πῶς οὐ καὶ διὰ τοῦτο κατὰ τὸν τῆς κακώσεως νόμον ἄξιός ἐστι θανάτῳ ζημιωθῆναι; — Ἔρανον. On appelait ἔρανος un prêt amical qu'il fallait rembourser (ὑποτελεῖν), lorsque ceux qui en avaient fait l'avance venaient eux-mêmes à tomber dans le besoin. Voy. la note sur *Midienne*, § 101. Thucydide, II, 43, dit des citoyens morts pour la patrie : Κάλλιστον ἔρανον αὐτῇ προϊέμενοι.

4-7. Συμπάσης τῆς πόλεως.... ἡγεῖσθαι, considérer tous les citoyens comme les pères communs de toute la ville ! Substituer à la patrie, qui est notre mère commune, l'ensemble des concitoyens, et les présenter tous, non comme frères, mais comme leurs propres pères, ce serait tomber dans le galimatias. On lit, dans une Lettre de Démosthène (III, 41), que l'homme public doit avoir pour le peuple les sentiments d'un fils pour son père. Ce passage, cité par Dobree, n'est pas sujet à la même critique. — Faut-il sous-entendre γονέας avec τοὺς σύμπαντας? Je ne sais si les pères de famille avaient seuls droit au théorique. On voit par Hypéride (p. 14 sq. Blass) qu'ils pouvaient le réclamer pour eux-mêmes et leurs enfants présents à Athènes.

11. Κοινῇ doit être construit avec ἀποστερεῖν plutôt qu'avec κακόνους, et se traduire : « par décret public. » — Démade disait que le théorique était le ciment de la démocratie, κόλλαν τῆς δημοκρατίας.

13. Τὸ πρᾶγμ(α). La répartition des revenus publics entre les citoyens.

14-1. Δίειμι δέ.... Transition longue et verbeuse. Cf. § 36 et 37. Démosthène

ὥσπερ ἄρτι, τὸν αὐτὸν τρόπον καὶ ὑπὲρ τῶν εὐπόρων, οὐ κατοκνήσας εἰπεῖν τἀληθῆ. Ἐμοὶ γὰρ οὐδεὶς οὕτως ἄθλιος οὐδ' ὠμὸς εἶναι δοκεῖ τὴν γνώμην, οὔκουν Ἀθηναίων γε, ὥστε λυπεῖσθαι ταῦτα λαμβάνοντας ὁρῶν τοὺς ἀπόρους καὶ τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας. [44] Ἀλλὰ ποῦ συντρίβεται τὸ πρᾶγμα καὶ ποῦ δυσχεραίνεται; Ὅταν τὸ ἀπὸ τῶν κοινῶν ἔθος ἐπὶ τὰ ἴδια μεταβιβάζοντας ὁρῶσί τινας, καὶ μέγαν μὲν ὄντα παρ' ὑμῖν εὐθέως τὸν λέγοντα, ἀθάνατον δ' ἕνεκ' ἀσφαλείας, ἑτέραν δὲ

NC. 3. ἀθηναίων γε S. 'Αθηναιων γε, οἶμαι ἀλλ' οὐδὲ τῶν ἄλλων (ou ἀλλ' οὐδὲ τῶν ἄλλων οἶμαι) vulg. — 6. τὸ est omis dans S seul. — 7. ἴδια διαβιβάζοντας (les trois lettres δια sont répétées par erreur) S seul. — 8. τὸν ἀντιλέγοντα Cobet. Faut-il écrire τὸν φεύγοντα? ou bien suppléer après ἀσφαλείας un membre de phrase tel que celui-ci: τὸν δὲ φεύγοντ' ἀκροάσεως μὲν τυγχάνοντα φιλανθρώπου?

est d'ordinaire plus concis, plus vif. — Ὥσπερ ἄρτι. Sous-ent. ὑπὲρ τῶν ἐν ἐνδείᾳ ou ὑπὲρ τῶν ἐν χρείᾳ δοκούντων εἶναι (§ 37).

2. Οὕτως ἄθλιος, assez misérable, assez dénué de sens. Cf. *Ambassade*, § 173 : Οὐ γὰρ ἔγωγ' οὕτως ἄθλιος οὐδ' ἄφρων.

5-1. Ποῦ συντρίβεται τὸ πρᾶγμα, où vient se heurter la chose? où commencent les collisions, les froissements? — Ὅταν τὸ ἀπὸ τῶν κοινῶν ἔθος.... τοῦ φανερῶς θορύβου. Le sens général de ce passage se devine assez. Après s'être partagé la fortune publique, le peuple convoite aussi les fortunes particulières. Le jury populaire, qui était juge souverain, écoutait facilement des accusations iniques portées contre de riches citoyens, afin de les condamner à de fortes amendes, ou de confisquer leurs biens, au profit du fonds des théoriques. Scholiaste : Τοὺς κεκτημένους τὰς οὐσίας ἀδικεῖσθαι ὑπὸ τῶν δικαζόντων δημευομένους. Cf. *Cherson.* § 69, avec la note. Isocrate, *Antidose*, § 160 : Πολὺ γὰρ δεινότερον καθέστηκε τὸ δοκεῖν εὐπορεῖν ἢ τὸ φανερῶς ἀδικεῖν. Cependant le détail est difficile à expliquer. On est tout d'abord disposé à prendre τὸν λέγοντα dans le sens de τὸν ταῦτα ou τὸν τοιαῦτα λέγοντα, et à entendre l'orateur qui propose une spoliation de ce genre, l'accusateur d'un riche; et cette explication, déjà donnée par H. Wolf, est confirmée par les mots μεταβιβάζοντας.... τινας, lesquels désignent évidemment les orateurs de ce calibre. Ils sont de suite (εὐθέως) en grand crédit auprès du peuple (μέγαν παρ' ὑμῖν), et n'ayant rien à craindre de leurs adversaires politiques, ils sont éternels, autant que cela dépend de cette sécurité (ἀθάνατον δ' ἕνεκ' ἀσφαλείας : cf. ἕνεκα γε ψηφισμάτων, *Ol.* III, 14, et l'imitation de Libanios dans *Hermès*, 1874, p. 31) : c.-à-d. leur popularité est rapide et inébranlable. (Voir *Chers.* l. c. : Ἔχων ἐνέχυρον τῆς αὐτοῦ σωτηρίας τὸ πρὸς χάριν ὑμῖν λέγειν.) « D'un autre côté, le scrutin secret dément les démonstrations ostensibles » (ἑτέραν δὲ.... θορύβου). Ces mots ne se rapportent pas à l'assemblée du peuple, où l'on ne votait jamais au scrutin, mais aux assemblées judiciaires. Le riche y était condamné, malgré les applaudissements, les marques d'intérêt (cf. θορυβοῦντες, *Phil.* II, 26), qui accueillaient sa défense. Il est donc question d'abord de l'accusateur, ensuite de l'accusé, et cette antithèse est indiquée très-obscurément, il est vrai (cf. NC.), par les particules μέν et δέ. — Pour donner plus d'unité à la période, G. H. Schæfer voulait qu'on entendît le premier membre de phrase des encouragements trompeurs donnés à l'accusé. Malheureusement la locution ὁ λέγων ne répond pas à *is qui causam dicit*, et l'adjectif μέγαν répugne aussi à cette explication. Celle de Dobree est encore moins acceptable. Rehdantz croit que les mots τὸν λέγοντα désignent le citoyen aisé qui se voue aux affaires publiques : il reçoit des applaudissements, quand il parle devant le peuple

τὴν κρύϐδην ψῆφον τοῦ φανερῶς θορύϐου. [45] Ταῦτ' ἀπιστίαν, ταῦτ' ὀργὴν ἔχει. Δεῖ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως ἀλλή-
143 λοις τῆς πολιτείας κοινωνεῖν, τοὺς μὲν εὐπόρους εἰς μὲν τὸν βίον τὰ ἑαυτῶν ἀσφαλῶς ἔχειν νομίζοντας καὶ ὑπὲρ τούτων μὴ δεδοικότας, εἰς δὲ τοὺς κινδύνους κοινὰ ὑπὲρ τῆς σωτηρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας, τοὺς δὲ λοιποὺς τὰ μὲν κοινὰ κοινὰ νομίζοντας καὶ μετέχοντας τὸ μέρος, τὰ δ' ἑκάστου ἴδια τοῦ κεκτημένου. Οὕτω καὶ μικρὰ μεγάλη πόλις γίγνεται καὶ μεγάλη σῴζεται. Ὡς μὲν οὖν εἴποι τις ἄν, ἃ παρ' ἑκατέρων εἶναι δεῖ, ταῦτ' ἴσως ἐστίν· ὡς δὲ καὶ γένοιτ' ἄν, ἐν νόμῳ διορθώσασθαι δεῖ.

[46] Τῶν δὲ παρόντων πραγμάτων καὶ τῆς ταραχῆς πολλὰ πόρρωθέν ἐστι τὰ αἴτια· ἃ εἰ βουλομένοις ὑμῖν ἀκούειν ἐστίν, ἐθέλω λέγειν. Ἐξέστητ', ὦ ἄνδρες Ἀθηναῖοι, τῆς ὑποθέσεως ἐφ' ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον, καὶ τὸ μὲν προΐστασθαι

NC. 4. τὰ ἑαυτῶν Auger. τὸν ἑαυτῶν mss. — 5. ὑπὲρ S. περὶ vulg. — 6. τὰ ὄντα vulg. ὄντα S. — 8. μεγάλη πόλις S. πόλις μεγάλη vulg. — 10. ἐν νόμῳ S. ἐννόμως vulg. Nous suivons la ponctuation de Reiske. Ordinairement on met la virgule avant διορθώσασθαι. — 15. κατέλιπον. S seul : κατέλειπον.

mais, poursuivi devant les tribunaux pour avoir fait des motions contraires aux lois existantes (παρανόμων), il est condamné à des amendes exorbitantes. Mais il est difficile de sous-entendre tout ce que cet interprète lit entre les lignes, et l'on ne voit pas pourquoi l'orateur se serait borné à signaler une seule espèce de procès iniques.

1-2. Ταῦτ' ἀπιστίαν.... ἔχει. Le verbe ἔχειν signifie ici « contenir en soi, donner lieu à », et peut se tourner par παρέχειν. Cf. *Contre Eubulide*, § 24 : Εἴχομεν ἄν τιν' ὑποψίαν (on aurait pu nous soupçonner) παρεσκευάσθαι τούτους. Thucydide, II, 41 : Ἡ δύναμις τῆς πόλεως.... οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ, οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. C'est ainsi qu'on dit en latin *hæc res habet admirationem*, *habet offensionem*, etc.

3-4. Εἰς μὲν τὸν βίον, pour le cours ordinaire de la vie.

5. Εἰς δὲ τοὺς κινδύνους, pour les périls de la guerre.

6-8. Τὰ μὲν κοινὰ... τοῦ κεκτημένου. Cf. Cicéron, *De Officiis*, I, 7 : « Justitiæ.... « munus est, ...ut communibus pro com- « munibus utatur, privatis autem ut suis. » [Rehdantz.] — Μετέχοντας τὸ μέρος. Dans la troisième Olynthienne, § 34, Démosthène dit aussi : ἵνα τῶν κοινῶν ἕκαστος τὸ μέρος λαμϐάνων κτλ.; mais il ajoute une restriction salutaire.

8. Καὶ μικρὰ μεγάλη πόλις γίγνεται. Ordre des mots oratoire, pour καὶ μικρὰ πόλις γίγνεται μεγάλη.

9-10. Ὡς μὲν οὖν εἴποι τις ἄν.... διορθώσασθαι δεῖ, pour indiquer les devoirs réciproques des deux classes de la société, il suffit sans doute de ce que je viens de dire; pour que ces devoirs soient remplis en effet, il faut une réforme légale.

13. Ἃ εἰ βουλομένοις.... ἐστίν. Cf. *Megalop.* § 3 : Ἂν ὑμῖν βουλομένοις ᾖ, avec la note.

14. Ἐξέστητε.... τῆς ὑποθέσεως, vous vous êtes écartés de la donnée fondamentale, vous avez abandonné le principe politique. On rapproche *Olynth.* III, 36 :

τῶν Ἑλλήνων καὶ δύναμιν συνεστηκυῖαν ἔχοντας πᾶσι τοῖς ἀδικουμένοις βοηθεῖν περίεργον ἐπείσθητ' εἶναι καὶ μάταιον ἀνάλωμα ὑπὸ τῶν ταῦτα πολιτευομένων, τὸ δ' ἐν ἡσυχίᾳ διάγειν καὶ μηδὲν τῶν δεόντων πράττειν, ἀλλὰ προϊεμένους καθ' ἓν ἕκαστον πάνθ' ἑτέρους ἐᾶσαι λαβεῖν, θαυμαστὴν εὐδαιμονίαν καὶ πολλὴν ἀσφάλειαν ἔχειν ᾤεσθε. [47] Ἐκ δὲ τούτων παρελθὼν ἐπὶ τὴν τάξιν ἐφ' ἧς ὑμῖν τετάχθαι προσῆκεν ἕτερος, οὗτος εὐδαίμων καὶ μέγας καὶ πολλῶν κύριος γέγονεν, εἰκότως· πρᾶγμα γὰρ ἔντιμον καὶ μέγα καὶ λαμπρὸν, καὶ περὶ οὗ πάντα τὸν χρόνον αἱ μέγισται τῶν πόλεων πρὸς αὑτὰς διεφέροντο, Λακεδαιμονίων μὲν ἠτυχηκότων, Θηβαίων δ' ἀσχόλων διὰ τὸν Φωκικὸν πόλεμον γενομένων, ἡμῶν δ' ἀμελούντων, ἔρημον ἀνείλετο. [48] Τοιγάρτοι τὸ μὲν φοβεῖσθαι τοῖς ἄλλοις, 144 τὸ δὲ συμμάχους πολλοὺς ἔχειν καὶ δύναμιν μεγάλην ἐκείνῳ περιγέγονεν, καὶ τοσαῦτα πράγματα καὶ τοιαῦτ' ἤδη περιέστηκε τοὺς Ἕλληνας ἅπαντας, ὥστε μηδ' ὅ τι χρὴ συμβουλεύειν εὔπορον εἶναι.

[49] Ὄντων δ', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν παρόντων πραγμάτων πᾶσιν, ὡς ἐγὼ κρίνω, φοβερῶν, οὐδένες ἐν μείζονι κινδύνῳ τῶν πάντων εἰσὶν ὑμῶν, οὐ μόνον τῷ μάλισθ' ὑμῖν ἐπιβουλεύειν Φίλιππον, ἀλλὰ καὶ τῷ πάντων ἀργότατ' αὐτοὶ διακεῖσθαι. Εἰ τοίνυν τὸ τῶν ὠνίων πλῆθος ὁρῶντες καὶ τὴν εὐετη-

NC. 6. ᾠεσθε S seul. οἴεσθε vulg. — 14. πολλοὺς ἔχειν καὶ δύναμιν μεγάλην S. πολλοὺς καὶ δύναμιν μεγάλην ἔχειν vulg. — 19. πᾶσιν, après πραγμάτων, manque dans S. — 22. τὸ, avant τῶν, est omis dans S.

Μὴ παραχωρεῖν.... τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι.... κτησάμενοι κατέλιπον.

1-3. Δύναμιν συνεστηκυῖαν. Cf. *Cherson.* § 11. — Ὑπὸ τῶν ταῦτα πολιτευομένων, par ceux qui suivent, qui prônent une politique pareille.

4-5. Προϊεμένους καθ' ἓν ἕκαστον. Cf. *Olynth.* I, 14 : Τὸ προΐεσθαι καθ' ἕκαστον ἀεί τι τῶν πραγμάτων.

8. Οὗτος εὐδαίμων καὶ μέγας.... γέγονεν. Cf. *Cherson.* § 67.

9-13. Περὶ οὗ πάντα τὸν χρόνον.... διεφέροντο. Cf. *Phil.* III, 22 : Ὑπὲρ οὗ τὸν ἄλλον ἅπαντα χρόνον πάντες οἱ πόλεμοι γεγόνασιν οἱ Ἑλληνικοί. — Λακεδαιμονίων μὲν.... Θηβαίων δ(ὲ).... Voir le passage parallèle, *Olynth.* III, 27. — Ἔρημον, abandonné, non disputé.

20-21. Τῶν πάντων dépend de οὐδένες, et ὑμῶν est gouverné par μείζονι. — Αὐτοί. Au nominatif, parce que les Athéniens sont le sujet logique, sinon grammatical, de la phrase οὐδένες ἐν μείζονι κινδύνῳ.... εἰσὶν ὑμῶν.

22. Εἰ τοίνυν τὸ τῶν ὠνίων πλῆθος.... Ces considérations, jusqu'à la fin du § 50, sont le développement, d'ailleurs irréprochable, de ce qui est indiqué en quelques

ρίαν τὴν κατὰ τὴν ἀγορὰν, τούτοις κεχήλησθ' ὡς ἐν οὐδενὶ δεινῷ τῆς πόλεως οὔσης, οὔτε προσηκόντως οὔτ' ὀρθῶς τὸ πρᾶγμα κρίνετε. [50] Ἀγορὰν μὲν γὰρ ἄν τις καὶ πανήγυριν ἐκ τούτων ἢ φαύλως ἢ καλῶς παρεσκευάσθαι κρίνοι· πόλιν δ' ἣν ὑπείληφεν, ὃς ἂν τῶν Ἑλλήνων ἄρχειν ἀεὶ βούληται, μόνην ἂν ἐναντιωθῆναι καὶ τῆς πάντων ἐλευθερίας προστῆναι, οὐ μὰ Δί' ἐκ τῶν ὠνίων, εἰ καλῶς ἔχει, δοκιμάζειν δεῖ, ἀλλ' εἰ συμμάχων εὐνοίᾳ πιστεύει, εἰ τοῖς ὅπλοις ἰσχύει, ταῦθ' ὑπὲρ τῆς πόλεως δεῖ σκοπεῖν· ἃ σφαλερῶς ὑμῖν καὶ οὐδαμῶς εὖ πάντ' ἔχει. [51] Γνοίητε δ' ἄν, εἰ σκέψαισθ' ἐκείνως. Πότε μάλιστ' ἐν ταραχῇ τὰ τῶν Ἑλλήνων γέγονε πράγματα; Οὐδένα γὰρ χρόνον ἄλλον ἢ τὸν νυνὶ παρόντα οὐδ' ἂν εἷς εἴποι. Τὸν μὲν γὰρ ἄλλον ἅπαντ' εἰς δύο ταῦτα διῄρητο τὰ τῶν Ἑλλήνων, Λακεδαιμονίους καὶ ἡμᾶς, τῶν δ' ἄλλων [Ἑλλήνων] οἱ μὲν ἡμῖν,
145 οἱ δ' ἐκείνοις ὑπήκουον. Βασιλεὺς δὲ καθ' αὑτὸν μὲν ὁμοίως ἅπασιν ἄπιστος ἦν, τοὺς δὲ κρατουμένους τῷ πολέμῳ προσλαμβάνων, ἄχρι οὗ τοῖς ἑτέροις ἐξ ἴσου ποιήσαι, διεπιστεύετο, ἔπειτ' οὐχ ἧττον αὐτὸν ἐμίσουν οὓς σώσειε τῶν ὑπαρχόντων

NC. 4. παρασκευασθαι S. Variante : κατεσκευάσθαι. — 5. ἂν, avant ἐναντιωθῆναι, manque dans S seul. — 8. πιστεύει, εἰ (ce dernier mot est ajouté dans S après coup, mais de la même main). Vulgate : πιστεύει καὶ. — ταῦθ' vulg. τοῦθ' S seul. — 9. σφαλερῶς S. φαύλως vulg. — J'écris οὐδαμῶς εὖ πάντ' pour οὐδαμῶς ἅπαντ', S seul. οὐδαμῶς ἅπαντα καλῶς A. οὐ καλῶς ἅπαντ' vulg. — 13. εἰς δύο ταῦτα ajouté dans S par une main ancienne. — 14. δ', avant ἄλλον, est ajouté dans S par une main ancienne. J'ai mis entre crochets le mot Ἑλλήνων. — 15-16. ὁμοίως ἅπασιν S. ἅπασιν ὁμοίως vulg. — 16. τοὺς δὲ κρατουμένους. Il me semble que τοῖς δὲ κρατουμένοις conviendrait mieux ici. Προσλαμβάνειν ou συλλαμβάνειν τινί (avec le génitif de la chose, ou sans ce complément) veut dire « assister quelqu'un ». — 17. ἄχρις A. — ποιῆσαι S. — ἐπιστεύετο Cobet.

mots dans les §§ 66 et 67 du discours sur la *Chersonèse*, reproduits au § 69 de cette harangue. Loin de faire ici double emploi, elles marquent au contraire l'unité du morceau § 49-69.

3. Πανήγυριν. Les fêtes qui réunissaient les populations étaient en même temps des foires. Les Latins appellent la fête d'Olympie *mercatus*. Cf. Cicéron, *Tuscul.* V, 3 ; Justin, XIII, 5.

7. Εἰ καλῶς ἔχει. Le sujet de ἔχει n'est pas ἡ πόλις, mais τὰ ὤνια.

13. Εἰς δύο ταῦτα διῄρητο. Cf. § 4 : Διεστηκότων εἰς δύο ταῦτα.

16. Ἄπιστος ἦν (« était un objet de défiance ») est opposé à διεπιστεύετο.

16-17. Προσλαμβάνων, s'adjoignant. Cependant on attendrait plutôt « aidant ». Voir NC. — Ἄχρι οὗ τοῖς ἑτέροις ἐξ ἴσου ποιήσαι, jusqu'à ce qu'il les eût mis sur le même rang que les autres, jusqu'à ce qu'il eût rétabli l'égalité des forces. L'optatif ποιήσαι, comme plus bas σώσειε, répond à l'imparfait de la

ἐχθρῶν ἐξ ἀρχῆς. [52] Νῦν δὲ πρῶτον μὲν ὁ βασιλεὺς ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει καὶ <πιστῶς>, πάντων ἥκιστα δ' ἡμῖν, ἂν τι μὴ νῦν ἐπανορθωσώμεθα· ἔπειτα προστασίαι πολλαὶ καὶ πανταχόθεν γίγνονται, καὶ τοῦ πρωτεύειν ἀντιποιοῦνται μὲν πάντες, ἀφεστᾶσι δ' ἔργῳ, καὶ φθονοῦσι καὶ ἀπιστοῦσιν αὑτοῖς, οὐχ οἷς ἔδει, καὶ γεγόνασι καθ' αὑτοὺς ἕκαστοι, Ἀργεῖοι, Θηβαῖοι, Λακεδαιμόνιοι, Κορίνθιοι, Ἀρκάδες, ἡμεῖς. [53] Ἀλλ' ὅμως εἰς τοσαῦτα μέρη καὶ τοσαύτας δυναστείας διῃρημένων τῶν Ἑλληνικῶν πραγμάτων, εἰ δεῖ τἀληθῆ μετὰ παρρησίας εἰπεῖν, τὰ παρ' οὐδέσι τούτων ἀρχεῖα καὶ βουλευτήρια ἐρημότερ' ἄν τις ἴδοι τῶν Ἑλληνικῶν πραγμάτων ἢ τὰ παρ' ἡμῖν, εἰκότως· οὔτε γὰρ φιλῶν οὔτε πιστεύων οὔτε φοβούμενος οὐδεὶς ἡμῖν διαλέγεται. [54] Αἴτιον δὲ τούτων οὐχ ἕν, ὦ ἄνδρες Ἀθηναῖοι, (ῥᾴδιον γὰρ ἂν ἦν ὑμῖν μεταθεῖναι), ἀλλὰ πολλὰ καὶ παντοδαπὰ

NC. 2. Je corrige la leçon inadmissible καὶ πάντων ἥκιστα ἡμῖν vulg. δὴ ἡμῖν S. — 4-5. μὲν ἀντιποιοῦνται ἅπαντες vulg. — 5. ἀφεστᾶσι δ' ἔργῳ est notre correction. On lisait ἀφεστᾶσι (ἀφεστᾶσιν S) δ' ἔνιοι, mots pour lesquels G. H. Schæfer eut recours à l'explication suivante : « Nisi fallor est, *sejunxerunt se a ceterorum societate :* ut sit idem « quod γεγόνασι καθ' αὑτούς. » Quoi qu'on fasse, ἔνιοι donne un faux sens. — 6. οὐχ οἷς ἔδει est notre correction pour οὐχ ὡς ἔδει, leçon qui ne dit rien. Voir la note explicative. — 7. Λακεδαιμόνιοι, Κορίνθιοι. Vulgate : Κορίνθιοι, Λακεδαιμόνιοι. — 9. τῶν Ἑλληνικῶν πραγμάτων. Ces mots, qui reviennent deux lignes plus bas, me semblent interpolés ici. — 10. οὐδέσι S. οὐδενί vulg. — 11 et 13. ἡμῖν S. ὑμῖν vulg. — 14. ὑμῖν quelques manuscrits. ἡμῖν S et vulg.

phrase principale et marque la répétition du fait.

2-3. Ἂν τι μὴ νῦν ἐπανορθωσώμεθα, si nous ne réparons pas à présent la faute commise. Les Athéniens avaient repoussé les avances du roi de Perse. L'orateur se réfère évidemment à ce qu'il avait dit au § 34. Voyez la *Notice*.

4-5. Τοῦ πρωτεύειν ἀντιποιοῦνται μὲν πάντες, ἀφεστᾶσι δ' ἔργῳ, tous se piquent d'être à la tête de la Grèce, et y renoncent par le fait (en abandonnant le premier rang à Philippe). — Αὑτοῖς équivaut à ἀλλήλοις. Cf. *Phil.* III, 21 : Ἀπίστως καὶ στασιαστικῶς ἔχουσι πρὸς αὑτοὺς οἱ Ἕλληνες. — Οὐχ οἷς ἔδει. Le pluriel général οἷς désigne au fond le seul Philippe. Cf. *Phil.* III, 35 : Ἀπιστοῦντες ἀλλήλοις, οὐ τῷ πάντας ἡμᾶς ἀδικοῦντι.

8. Δυναστείας, dominations, hégémonies. Ce sens du mot δυναστεία, ainsi que le sens un peu différent qu'il a au § 4, est conforme, quoi qu'on en ait dit, à l'usage du siècle de Démosthène. Cf. *Couronne*, § 270 : Τῆς Φιλίππου πρότερον καὶ νῦν τῆς Ἀλεξάνδρου δυναστείας. Isocrate, *Panégyrique*, § 178 : Ἡμῶν (τῶν Ἀθηναίων) δὲ τὸν ἅπαντα χρόνον ἐν τοῖς Ἕλλησι δυναστευόντων.

10. Ἀρχεῖα sont les lieux où les magistrats (ἀρχαί) donnent audience ; βουλευτήρια, ceux où se réunissent les conseils (sénats) ou les grandes assemblées délibératives.

13-14. Αἴτιον δὲ τούτων οὐχ ἕν... ἀλλὰ πολλά. Cf. *Phil.* III, 2 : Πολλὰ μὲν οὖν ἴσως ἐστὶν αἴτια τούτων, καὶ οὐ παρ' ἓν οὐδὲ δύο κτλ.

ἐκ παντὸς ἡμαρτημένα τοῦ χρόνου, ὧν τὸ καθ' ἕκαστον ἐάσας, εἰς ὃ πάντα συντείνει λέξω, δεηθεὶς ὑμῶν, ἂν λέγω τἀληθῆ μετὰ παρρησίας, μηδὲν ἀχθεσθῆναί μοι. Πέπραται τὰ συμφέροντ' ἐφ' ἑκάστου τῶν καιρῶν, καὶ μετειλήφαθ' ὑμεῖς μὲν τὴν σχολὴν καὶ τὴν ἡσυχίαν, ὑφ' ὧν κεκηλημένοι τοῖς ἀδικοῦσιν οὐ πικρῶς ἔχετε, ἕτεροι δὲ τὰς τιμὰς ἔχουσιν. [55] Καὶ τὰ 146 μὲν περὶ τἄλλ' οὐκ ἄξιον ἐξετάσαι νῦν· ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμπέσῃ, εὐθὺς ἀναστάς τις λέγει, ὡς οὐ δεῖ ληρεῖν οὐδὲ γράφειν πόλεμον, παραθεὶς εὐθέως ἑξῆς τὸ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθὸν, καὶ τὸ τρέφειν μεγάλην δύναμιν ὡς χαλεπὸν, καὶ « διαρπάζειν τινὲς τὰ χρήματα βούλονται », καὶ ἄλλους λόγους ὡς οἷόντ' ἀληθεστάτους λέγουσιν. [56] Ἀλλὰ δεῖ δήπου τὴν μὲν εἰρήνην ἄγειν οὐχ ὑμᾶς πείθειν, οἳ πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γ' ἀφ' ὑμῶν ὑπάρχει· νομίζειν δ' εἶναι χαλεπά, οὐχ ὅσ' ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ' ἃ πεισόμεθ', ἂν μὴ ταῦτ'

NC. 2. εἰς ὃ S seul. ἓν, εἰς ὃ vulg. — πάντα (ou πάντα γε) συντείνει vulg. πᾶν τείνει (en sautant de ντ à ντ) S seul. — 3. ἀχθεσθῆναί μοι vulg. ἄχθεσθαι S. Cf. *Phil.* III, 3. — πέπραται. Vulg. : ἐκπέπραται. Cf. *Phil.* III, 39. — 4. ἐφ'. S : ἀφ'. — 7. περὶ τἄλλ(α). Variante : ἄλλα, tirée de *Cherson.* § 52. — 9. τὸ vulg. τῷ S seul (mauvaise correction d'un grammairien). — 10. μεγάλην δύναμιν S. δύναμιν μεγάλην vulg. et *Cherson.* — 12. ὡς οἷόντε S. ὡς οἴονται vulg. — 13. οἳ S et *Cherson.* § 53. οἵ γε vulg. — 15. δ' εἶναι S et *Cherson.* § 54. δὲ δεῖ vulg. — 16. μὴ ταῦτ' S. ταῦτα μὴ vulg. et *Chersonèse.*

1-2. Ἐκ παντὸς ἡμαρτημένα τοῦ χρόνου. Cf. § 1 : Ἁμαρτημάτων οὐδ' ἐκ μικροῦ χρόνου συνειλεγμένων. — Τὸ καθ' ἕκαστον, le détail. — Εἰς ὃ.... λέξω. Construisez : Λέξω(τοῦτο), εἰς ὃ πάντα συντείνει.

3-6. Πέπραται.... τῶν καιρῶν. Cf. *Phil.* III, 38 sq. : Τὸν οὖν καιρὸν ἑκάστου τῶν πραγμάτων.... οὐκ ἦν πρίασθαι.... Νῦν δ' ἅπαντα.... ἐκπέπραται ταῦτα. — Μετειλήφαθ' ὑμεῖς μὲν τὴν σχολὴν.... τὰς τιμὰς ἔχουσιν. Cf. *Cherson.* § 53 : Περιγίγνεται ὑμῖν μὲν ἡ σχολὴ καὶ τὸ μηδὲν ἤδη ποιεῖν.... τούτοις δὲ αἱ χάριτες καὶ ὁ μισθὸς ὁ τούτων. Il résulte de ce rapprochement que τὰς τιμάς équivaut ici à τοὺς μισθούς. [G. H. Schæfer.]

6-7. Τὰ μὲν περὶ τἄλλ(α), ce qui concerne d'autres objets. C'est ici que recommencent les emprunts faits au discours sur la *Chersonèse.*

8-9. Ὡς οὐ δεῖ ληρεῖν οὐδὲ γράφειν πόλεμον, qu'il ne faut pas faire de vains discours (pleins d'animosité contre Philippe, mais sans conclusion précise), ni faire voter la guerre. — Παραθεὶς εὐθέως ἑξῆς, apportant aussitôt ces phrases, l'une à la file de l'autre, défilant aussitôt ces refrains connus. Ces mots, qu'on a critiqués à tort, ainsi que les précédents, ne se trouvent pas dans l'autre discours.

12. Ὡς οἷόντ' ἀληθεστάτους, de toute vérité. « Ils disent aussi vrai qu'on peut dire. » Cette transition, très-bonne, remplace quelques lignes dont il a été fait usage, du moins en partie, à la fin du § 54.

ἐθέλωμεν ποιεῖν, καὶ τὸ διαρπασθήσεσθαι τὰ χρήματα τῷ φυλακὴν εὑρεῖν δι' ἧς σωθήσεται κωλύειν, οὐχὶ τῷ τοῦ συμφέροντος ἀποστῆναι. [57] Καίτοι ἔγωγ' ἀγανακτῶ καὶ αὐτὸ τοῦτο, εἰ τὰ μὲν χρήματα λυπεῖ τινὰς ὑμῶν εἰ διαρπασθήσεται, ἃ καὶ φυλάττειν καὶ κολάζειν τοὺς ἁρπάζοντας ἐφ' ὑμῖν ἐστι, τὴν δ' Ἑλλάδα πᾶσαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων οὐ λυπεῖ, καὶ ταῦτ' ἐφ' ὑμᾶς ἁρπάζων.

[58] Τί ποτ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν οὕτω φανερῶς ἀδικοῦντα καὶ πόλεις καταλαμβάνοντα οὐδεὶς πώποτε τούτων εἶπεν ὡς ἀδικεῖ καὶ πόλεμον ποιεῖ, τοὺς δὲ μὴ ἐπιτρέπειν μηδὲ προΐεσθαι ταῦτα συμβουλεύοντας, τούτους πόλεμον ποιεῖν φασίν; Ὅτι τὴν αἰτίαν τῶν ἐκ τοῦ πολέμου συμβησομένων δυσχερῶν (ἀνάγκη γάρ, ἀνάγκη πολλὰ λυπηρὰ ἐκ τοῦ πολέμου γίγνεσθαι) τοῖς ὑπὲρ ὑμῶν τὰ βέλτιστα λέγειν οἰομένοις ἀναθεῖναι βούλονται. [59] Ἡγοῦνται γάρ, ἂν μὲν ὑμεῖς ὁμοθυμαδὸν ἐκ μιᾶς γνώμης Φίλιππον ἀμύνησθε, κἀκείνου κρατήσειν ὑμᾶς 147 καὶ αὐτοῖς οὐκέτ' ἔσεσθαι μισθαρνεῖν, ἂν δ' ἀπὸ τῶν πρώτων θορύβων αἰτιασάμενοί τινας πρὸς τὸ κρίνειν τράπησθε, αὐτοὶ μὲν τούτων κατηγοροῦντες ἀμφότερ' ἕξειν, καὶ παρ' ὑμῖν εὐδοκιμήσειν καὶ παρ' ἐκείνου χρήματα λήψεσθαι, ὑμᾶς δ' ὑπὲρ ὧν

NC. 1. διαρπασθήσεσθαι vulg. διαρπασθήσεται S. Cf. *Cherson.* — 2. δι' ἧς S. Variante : δι' ἣν. Cf. *ib.* — κωλύειν S. κωλύσειν vulg. — 3. αὐτὸ, avant τοῦτο, est omis dans S. Cf. *ibid.* — 4. ὑμῶν. S : ἡμῶν. — 5. ἁρπάζοντας. Il faut peut-être admettre la variante : ἀδικοῦντας, leçon de *Chers.* § 55. — ὑμῖν. S : ἡμῖν. — 6. πᾶσαν S. ἅπασαν vulg. — 9. τούτων. Variante : τοῦτον. — 10. πολεμοποιεῖ et, l. 11, πολεμοποιεῖν S seul. Mais ce même manuscrit porte πόλεμον ποιεῖ, etc., non-seulement dans le passage correspondant du discours sur la Chersonèse, mais aussi plus bas, aux §§ 69 et 71. — ἐπιτρέπειν. S : προτρέπειν. — 14. οἰομένοις. La variante εἰθισμένοις est probablement une correction. J'aimerais mieux écrire ἑλομένοις, ou bien insérer δεῖν avant λέγειν. — ἀναθεῖναι S, A. ἅπαντες ἀναθεῖναι vulg. — 15. οὐκέτι A. οὐκ S. — 16. ἐκ μιᾶς γνώμης : mots suspectés à tort par Cobet. — 19. παρ' ἡμῖν S.

8. Τί ποτ' οὖν.... Le § 58 est une rédaction légèrement remaniée, plus simple, plus facile à comprendre, du passage correspondant, *Cherson.* § 56 sq.

14. Λέγειν οἰομένοις. Si telle était la vraie leçon, ce morceau me semblerait suspect. Démosthène ne parle pas sur ce ton de modestie et de doute de la politique qu'il défend. Voir *NC.*

15. Ἡγοῦνται.... Le § 59 est le développement et, en quelque sorte, le commentaire de la phrase plus concise et plus énergique : ἵνα τούτους κρίνητε.... ὧν ποιοῦσι νῦν, *Chersonèse,* § 57.

17-18. Ἀπὸ τῶν πρώτων θορύβων, dès la première alarme.

20. Ὑπὲρ ὧν, *ob ea, propter quæ.*

δεῖ παρὰ τούτων δίκην λαβεῖν, παρὰ τῶν ὑπὲρ ὑμῶν εἰρηκότων λήψεσθαι. [60] Αἱ μὲν ἐλπίδες αἱ τούτων αὗται, καὶ τὸ κατασκεύασμα τὸ τῶν αἰτιῶν, ὡς ἄρα βούλονταί τινες πόλεμον ποιῆσαι. Ἐγὼ δ' οἶδ' ἀκριβῶς ὅτι, οὐ γράψαντος Ἀθηναίων οὐδενὸς πόλεμον, πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως καὶ νῦν εἰς Καρδίαν πέπομφε βοήθειαν. Εἰ μέντοι βουλόμεθ' ἡμεῖς μὴ προσποιεῖσθαι πολεμεῖν ἡμῖν ἐκεῖνον, ἀνοητότατος πάντων ἂν εἴη, εἰ τοῦτ' ἐξελέγχοι· ὅταν γὰρ οἱ ἀδικούμενοι ἀρνῶνται, τί τῷ ἀδικοῦντι προσήκει; [61] Ἀλλ' ἐπειδὰν ἐφ' ἡμᾶς αὐτοὺς ἴῃ, τί φήσομεν τότε; Ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν, ὥσπερ οὐδ' Ὠρείταις, τῶν στρατιωτῶν ὄντων ἐν τῇ χώρᾳ, οὐδὲ Φεραίοις πρότερον, πρὸς τὰ τείχη προσβάλλων, οὐδ' Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων. Ἦ καὶ τότε τοὺς ἀμύνεσθαι κελεύοντας πόλεμον ποιεῖν φήσομεν; Οὐκοῦν ὑπόλοιπον δουλεύειν· οὐδὲ γὰρ ἄλλο γ' οὐδὲν ἔνι.

[62] Καὶ μὴν οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν τε καί τισι τῶν ἄλλων ἀνθρώπων ἔσθ' ὁ κίνδυνος· οὐ γὰρ ὑφ' αὑτῷ ποιήσασθαι τὴν πόλιν βούλεται Φίλιππος ὑμῶν, οὔ, ἀλλ' ὅλως ἀνελεῖν. 148 Οἶδεν γὰρ ἀκριβῶς ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτ' ἐθελήσετε, οὔτ', ἐὰν ἐθέλητε, ἐπιστήσεσθε (ἄρχειν γὰρ εἰώθατε), πράγματα δὲ

NC. 3. αἰτιῶν S. αἰτίων vulg. — 4. δὲ οἶδα ἀκριβῶς S et *Cherson.* § 68. δ' εὖ οἶδα ἀκριβῶς vulg. Var. : δ' εὖ οἶδα. — 5. πολλὰ S. καὶ ἄλλα πολλὰ vulg. et *Cherson.* — 6. βοήθειαν S, et *Cherson.* τὴν βοήθειαν vulg. — 10. τότε est peut-être une glose. Ce mot, qui revient à la ligne 13, ne se lit pas dans *Cherson.* — 11. τῶν, avant στρατιωτῶν, est omis dans S seul. — 12. πρότερον et προσβάλλων S. πρότερον πρὶν ἢ (ou πρότερον ἢ) et προσβαλὼν, ou προσβαλεῖν, αὐτῶν vulg. Cf. *Cherson.* — 13. ἕως ἂν vulg. — 15. οὐδὲ S seul. οὐ vulg. — 16. οὐχ S, et *Cherson.* § 60. οὐδὲ vulg. — 17. ὑφ' αὑτῷ vulg., et *Cherson.* ἐφ' αὑτῷ S seul. — 18. ὑμῶν S. ἡμῶν vulg. Ce mot, ainsi que οὔ, ne se lit pas dans *Cherson.* — 19. οἶδεν A.

8-9. Ὅταν γὰρ οἱ ἀδικούμενοι ἀρνῶνται. Sous-ent. ἀδικεῖσθαι, ou bien un second ἀδικούμενοι. — Τί τῷ ἀδικοῦντι προσήκει; que doit donc faire l'agresseur? Quelques éditeurs prennent τί dans le sens de « pourquoi », et sous-entendent ὁμολογεῖν, renfermé, disent-ils, dans ἀρνεῖσθαι. Cette brachylogie serait plus hardie que toutes celles que l'on en rapproche. — La réflexion ὅταν γὰρ.... προσήκει ne se trouve pas dans *Cherson.* Cf. *Phil.* III, 14 : Καὶ γὰρ ἂν ἀβελτερώτατος εἴη πάντων ἀνθρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν ἐγκαλούντων αὐτῷ κτλ.

15. Οὐδὲ γάρ.... ἔνι. Cf. *Cherson.* § 59, où quelques mots de plus précisent la situation.

16-17. Ὑμῖν τε καί τισι τῶν ἄλλων ἀνθρώπων. Cf. *Cherson.* § 60 : Ὑμῖν τε καὶ τοῖς ἄλλοις : rédaction plus simple.

παρασχεῖν αὐτῷ, ἂν καιρὸν λάβητε, πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάντων δυνήσεσθε. Διὰ ταῦθ' ὑμῶν οὐχὶ φείσεται, εἴπερ ἐγκρατὴς γενήσεται.

[63] Ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ἐσομένου τοῦ ἀγῶνος, οὕτω προσήκει γιγνώσκειν, καὶ τοὺς πεπρακότας αὑτοὺς ἐκείνῳ φανερῶς ἀποτυμπανίσαι· οὐ γάρ ἔστιν, οὐκ ἔστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητ' ἐχθρούς, ἀλλ' ἀνάγκη τούτοις ὥσπερ προβόλοις προσπταίσαντας ὑστερίζειν ἐκείνων. [64] Πόθεν οἴεσθε νῦν αὐτὸν ὑβρίζειν ὑμᾶς (οὐδὲν γὰρ ἄλλ' ἔμοιγε δοκεῖ ποιεῖν ἢ τοῦτο) καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾶν, ὑμῖν δ' ἀπειλεῖν ἤδη; Οἷον Θετταλοὺς πολλὰ δοὺς ὑπηγάγετ' εἰς τὴν νῦν παροῦσαν δουλείαν· οὐδ' ἂν εἰπεῖν δύναιτ' οὐδεὶς ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους πρότερον δοὺς Ποτείδαιαν ἐξηπάτησε καὶ πόλλ' ἕτερα· Θηβαίους τὰ νῦν ὑπάγει τὴν Βοιωτίαν αὐτοῖς παραδοὺς καὶ ἀπαλλάξας πολέμου πολλοῦ καὶ χαλεποῦ· [65] ὥστε καρπωσάμενοί τιν' ἕκαστοι τούτων πλεονεξίαν, οἱ μὲν ἤδη πεπόνθασιν ἃ δὴ πεπόνθασιν, οἱ δ' ὅ τι ἂν ποτε συμβῇ πείσονται.

NC. 4. τοῦ, après ἐσομένου, est oublié dans S seul. — ἀγῶνος S seul, et *Cherson*. ἀγῶνος ὑμῖν vulg. — 6. Avant ἀποτυμπανίσαι, la vulgate porte μισεῖν καί, mots tirés de *Cherson*. § 61. — τῶν ἔξω vulg., et *Cherson*. ἔξω τῶν S seul. — 8-9. προσπταίσαντας S seul. προσπταίοντας vulg., et Pollux, V, 134. — ἐκείνων. Pollux : τῶν καιρῶν. — πόθεν S seul (avant l'addition de γὰρ par une main ancienne), ici et *Cherson*. § 62. ἐπεὶ πόθεν, ou πόθεν γάρ, vulg. — ὑβρίζειν. Vulg. : ὑβρίζειν εἰς. — 10. ἄλλο ἔμοιγε S, et *Cherson*. ἔμοιγε ἄλλο vulg. — 11. ποιοῦντα. S, de première main, ποιοῦντας. — 15. ὑπάγει S. ὑπάγεται vulg. — 17. οἱ μὲν ἤδη vulg. οἱ μὲν δὴ S seul. — 18. ἃ δὴ πεπόνθασι S. ἃ δὴ πάντες ἴσασιν vulg., et *Cherson*. § 63. — ὅ τι ἄν. Il faut peut-être écrire ὅταν. Cf. *ib*.

2. Διὰ ταῦτα.... γενήσεται. Cette phrase ne se lit pas dans l'autre discours. L'addition ne semble ni nécessaire, ni heureuse.

4. Ἐσομένου est moins vif que ὄντος, qu'on lit *Cherson*. § 61.

5-6. Φανερῶς. Ce mot, qui remplace les mots μισεῖν καὶ de l'autre discours, est généralement construit avec πεπρακότας. En effet, il n'est guère possible de lier φανερῶς ἀποτυμπανίσαι, quoique le nombre oratoire y gagnerait.

8-9. Ἀλλ' ἀνάγκη.... ἐκείνων. Cette belle comparaison ne se trouve pas dans le discours sur la Chersonèse, du moins d'après le texte de S et de L. Harpocration : Πρόβολοι· αἱ εἰς θάλατταν προκείμεναι πέτραι καὶ οἷον ἀκταί τινες. Δημοσθένης ἐν Φιλιππικοῖς.

17-18. Πεπόνθασιν ἃ δὴ πεπόνθασιν. Formule de réticence fréquente chez les tragiques. Cf. Sophocle, *Œd. Col.* 273 : Ἱκόμην ἵν' ἱκόμην, et *passim*. L'autre discours porte : πεπόνθασιν ἃ δὴ πάντες ἴσασιν. La leçon qu'on voit ici est plus belle, plus pathétique.

Ὑμεῖς δ' ὧν μὲν ἀπεστέρησθε σιωπῶ· ἀλλ' ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι, πόσ' ἐξηπάτησθε, πόσων ἀπεστέρησθε. Οὐχὶ Φωκέας, οὐ Πύλας, οὐχὶ τὰ ἐπὶ Θρᾴκης, Δορίσκον, Σέρριον, τὸν Κερσοβλέπτην αὐτόν; Οὐ νῦν Καρδίαν ἔχει καὶ ὁμολογεῖ;

149 [66] Τί ποτ' οὖν ἐκείνως τοῖς ἄλλοις, καὶ ὑμῖν τοῦτον τὸν τρόπον προσφέρεται; Ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ ὑμετέρᾳ ἄδει' ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται, καὶ λαβόντα χρήματ' αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ' ὑμῖν, κἂν ἀφῃρημένοι τὰ ὑμέτερ' αὐτῶν ἦτε. [67] Οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου μὴ σὺν εὖ πεπονθότων τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτείδαιαν καρποῦσθαι· οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ μὴ σὺν εὖ πεπονθότος τοῦ πλήθους τοῦ Θετταλῶν τῷ τοὺς τυράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς καὶ τὴν Πυλαίαν ἀποδοῦναι· οὐκ ἦν ἐν Θήβαις ἀσφαλές, πρὶν τὴν Βοιωτίαν ἀπέδωκε καὶ τοὺς Φωκέας ἀνεῖλεν. [68] Ἀλλ' Ἀθήνησιν, οὐ μόνον Ἀμφίπολιν καὶ τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ καὶ κατασκευάζοντος ὑμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν καὶ νῦν ἐπὶ Βυζάντιον παριόντος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ Φιλίππου. Καὶ γάρ τοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ πλούσιοι γίγνονται, καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδοξοι καὶ γνώριμοι, ὑμεῖς δὲ τοὐναντίον ἐκ μὲν ἐνδόξων ἄδοξοι, ἐκ δ' εὐπόρων ἄποροι· [69] πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι συμμάχους, πίστιν, εὔνοιαν, ὧν πάντων ὑμεῖς ἐστ' ἄποροι. Ἐκ δὲ τοῦ τούτων ὀλιγώρως ὑμᾶς ἔχειν καὶ ἐᾶν τοῦτον τὸν τρόπον τὰ πράγματα φέρεσθαι, ὁ μὲν εὐδαίμων καὶ μέγας καὶ φοβερὸς πᾶσιν Ἕλλησι καὶ βαρβάροις, ὑμεῖς δ' ἔρημοι καὶ ταπεινοί, τῇ μὲν κατὰ τὴν ἀγορὰν

NC. 4. Καρδίαν. *Cherson.* § 64 : τὴν πόλιν τὴν Καρδιανῶν. — 5. τοῦτον τὸν τρόπον S. οὐ τὸν αὐτὸν τρόπον vulg., et *Cherson.* — 6. ὑμετέρᾳ S. ἡμετέρᾳ vulg. — 11. Après ἐν Θετταλίᾳ, la vulgate porte τὰ Φιλίππου, mots tirés du texte de l'autre discours. — 13. ἐκβαλεῖν vulg., et *Cherson.* § 65. ἐκβάλλειν S. — 14. πρὶν S. πρὶν ἢ vulg. — ἀπέδωκεν S. — 17. ὑμῖν *Cherson.* ἡμῖν manuscrits. — 19. γίγνονται S. γεγόνασι vulg. — 23. ὑμεῖς ἐστὲ S. ἐστὲ ὑμεῖς vulg., et *Cherson.* — 24. ὑμᾶς. Dans l'autre discours, S et L ne portent pas ce mot. — τὰ πράγματα φέρεσθαι vulg. φέρεσθαι A[1]. προσφέρεσθαι S seul. Cf. *Cherson.* § 67. — 25. φοβερὸς πᾶσιν S. φοβερός ἐστι πᾶσι τοῖς vulg.

26-1. Τῇ μὲν.... εὐετηρίᾳ, *Cherson.*, § 67, porte : Τῇ τῶν ὠνίων ἀφθονίᾳ. Ici l'orateur reprend les mêmes mots dont il s'était déjà servi au § 49, évidemment à

εὐετηρίᾳ λαμπροί, τῇ δ' ὧν προσῆκε παρασκευῇ καταγέλαστοι. 150

[70] Οὐ τὸν αὐτὸν δὲ τρόπον περί θ' ὑμῶν καὶ περὶ αὑτῶν ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομένους· ὑμᾶς μὲν γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ, αὐτοὶ δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυχίαν ἄγειν, οὐδενὸς αὐτοὺς ἀδικοῦντος. Καίτοι λοιδορίας εἴ τις χωρίς σ' ἔροιτο « εἰπέ μοι, τί δή, γιγνώσκων « ἀκριβῶς, Ἀριστόμηδες, (οὐδεὶς γὰρ τὰ τοιαῦτ' ἀγνοεῖ) τὸν « μὲν τῶν ἰδιωτῶν βίον ἀσφαλῆ καὶ ἀπράγμονα καὶ ἀκίνδυνον « ὄντα, τὸν δὲ τῶν πολιτευομένων φιλαίτιον καὶ σφαλερὸν καὶ « καθ' ἑκάστην ἡμέραν ἀγώνων καὶ κακῶν μεστόν, οὐ τὸν « ἡσύχιον, ἀλλὰ τὸν ἐν τοῖς κινδύνοις αἱρεῖ; » τί ἂν εἴποις; [71] Εἰ γὰρ ὃ βέλτιστον εἰπεῖν ἂν ἔχοις, τοῦτό σοι δοίημεν ἀλη-

NC. 4-6. ἡμᾶς.... ἡμᾶς.... ἡμῖν S. — 7. λοιδορίας εἴ τις χωρὶς ἔροιτο S. σ' ἔροιτο Cobet. λοιδορίας χωρὶς εἴ τις ἔροιτό σε vulg. — 8. ἀριστόμηδες S. Ἀριστόδημε vulg. Dans les scholies, on lit deux fois la première, et une troisième fois la seconde forme de ce nom. — 12. ἡσύχιον S seul. ἡσύχιον καὶ ἀπράγμονα vulg. — εἴποις vulg. εἴποι τις S seul. — 13. δοίημεν S. συγχωρήσαιμεν (glose) vulg.

dessein. Le morceau se termine comme il avait commencé, par une espèce de *id quod erat demonstrandum*.

6. Οὐδενὸς αὐτοὺς ἀδικοῦντος. On peut trouver que ces mots ont ici moins d'à-propos que dans l'autre discours. Là, Démosthène oppose sa propre conduite à celle des orateurs violents et intéressés, qui flattent les plus mauvais instincts du peuple, en se faisant les accusateurs de concitoyens dont ils n'ont reçu aucune injure, mais dont la fortune, confisquée sous quelque vain prétexte, remplira le trésor public. Ici, rien de pareil n'est reproché à l'adversaire politique, vilipendé dans une sortie toute personnelle. Cependant on peut supposer que c'était un sycophante.

7-9. Λοιδορίας.... χωρίς. L'orateur commence cette invective d'un ton calme, avec une modération perfide. Spengel cite à propos *Couronne*, § 265 : Ἐξέτασον τοίνυν παρ' ἄλληλα τὰ σοὶ κἀμοὶ βεβιωμένα, πράως, μὴ πικρῶς, Αἰσχίνη. Là aussi la suite dément la feinte douceur du début. — Τί δή, γιγνώσκων ἀκριβῶς, pourquoi donc, tout en sachant parfaitement.... — Ἀριστόμηδες. Personnage inconnu d'ailleurs. Ceux qui préfèrent la variante Ἀριστόδημε pensent à l'acteur de ce nom, lequel joua un rôle politique dans les négociations de la paix de 346. Cf. *Ambassade*, §§ 12, 18, 97, 315 ; *Couronne*, § 21. — Τῶν ἰδιωτῶν, des hommes qui ne s'occupent que de leurs affaires particulières. Le sens de ce mot est déterminé par l'antithèse τῶν πολιτευομένων. Cf. *Phil.* I, 35, où ἰδιῶται, étant opposé à δεινοί, désignait des hommes dépourvus de certaines connaissances spéciales.

10. Φιλαίτιον, (vie) pleine de querelles Les hommes publics sont obligés d'attaquer leurs adversaires et exposés à être attaqués par eux. Le terme φιλαίτιον, opposé à ἀπράγμονα, indique, suivant nous, l'un et l'autre. Le scholiaste le restreint à tort aux accusations subies, en disant : Ἰσοκράτης (*A Démonicos*, § 31) ἐπὶ τοῦ φιλοῦντος ἄλλους αἰτιᾶσθαι· νῦν δὲ τοῦ εἰωθότος αἰτίας καὶ κατηγορίας ὑπομένειν παρὰ τῶν ἄλλων.

13-1. Εἰ.... τοῦτό σοι δοίημεν ἀληθὲς λέγειν, si nous t'accordions de pouvoir dire cela avec vérité, c'est-à-dire si nous te prêtions cette réponse, en admettant que

θὲς λέγειν, ὡς ὑπὲρ φιλοτιμίας καὶ δόξης ταῦτα πάντα ποιεῖς, θαυμάζω τί δήποτε σαυτῷ μὲν ὑπὲρ τούτων ἅπαντα ποιητέον εἶναι νομίζεις καὶ πονητέον καὶ κινδυνευτέον, τῇ πόλει δὲ προέσθαι ταῦτα μετὰ ῥᾳθυμίας συμβουλεύεις. Οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὡς σὲ μὲν ἐν τῇ πόλει δεῖ τινὰ φαίνεσθαι, τὴν πόλιν δ' ἐν τοῖς Ἕλλησι μηδενὸς ἀξίαν εἶναι. [72] Καὶ μὴν οὐδ' ἐκεῖνό γ' ὁρῶ, ὡς τῇ μὲν πόλει ἀσφαλὲς τὸ τὰ αὑτῆς πράττειν, σοὶ δὲ κίνδυνος, εἰ μηδὲν τῶν ἄλλων πλέον περιεργάσει, ἀλλὰ τοὐναντίον σοὶ μὲν ἐξ ὧν ἐργάζει καὶ περιεργάζει τοὺς ἐσχάτους ὄντας κινδύνους, τῇ πόλει δ' ἐκ τῆς ἡσυχίας. [73] Ἀλλὰ νὴ Δία παππῴα σοι καὶ πατρῴα δόξα ὑπάρχει, ἣν αἰσχρόν ἐστιν ἐν σοὶ καταλῦσαι· τῇ πόλει δ' ὑπῆρξεν ἀνώνυμα καὶ φαῦλα τὰ τῶν προγόνων. Ἀλλ' οὐδὲ τοῦθ' οὕτως ἔχει· σοὶ μὲν γὰρ
151 ἦν κλέπτης ὁ πατήρ, εἴπερ ἦν ὅμοιός σοι, τῇ πόλει δ' ἡμῶν οὓς πάντες ἴσασιν οἱ Ἕλληνες ἐκ τῶν μεγίστων κινδύνων

NC. 1. ταῦτα πάντα S. πάντα ταῦτα vulg. — 4. μετὰ ῥᾳθυμίας S. διὰ ῥᾳθυμίαν vulg. — 7. τῇ μὲν πόλει S. τῇ πόλει μὲν vulg. — 8. ἐπικίνδυνον (glose) vulg. — 11. παππῴα σοι.... δόξα S seul. παππῴα.... δόξα σοι vulg. — 14. Le premier ἦν est omis dans quelques manuscrits. — ὅμοιος σοὶ G. H. Schæfer. — 15. οὓς πάντες excellente correction de G. H. Schæfer, exigée par l'antithèse. ὡς πάντες manuscrits. — οἱ Ἕλληνες ἐκ S. οἱ Ἕλληνες δὶς ἐκ vulg. Cf. Isocrate, *Philippe*, § 129 : Τὴν πατρίδα τὴν αὑτοῦ τὴν τρὶς τοὺς Ἕλληνας ἐλευθερώσασαν, δὶς μὲν ἀπὸ τῶν βαρβάρων, ἅπαξ δ' ἀπὸ τῆς Λακεδαιμονίων ἀρχῆς.

tu pusses t'en servir avec vérité. — Ὡς, à savoir que.

5. Τινὰ φαίνεσθαι, jouer un rôle. Τινὰ εἶναι répondrait à « être quelqu'un ». Quant à ce sens du pronom indéfini, cf. *Olynth.* II, 1 et 14.

7-8. Τὸ τὰ αὑτῆς πράττειν équivaut à τὸ μὴ τὰ τῶν Ἑλλήνων πράττειν. Aristomède veut que les Athéniens se tiennent tranquilles, ne regardant pas au delà des frontières de l'Attique, se disant que ce qui se passe dans le reste de la Grèce ne les touche pas. L'orateur trouve qu'une telle politique, loin d'être prudente, expose Athènes aux plus grands dangers. — Περιεργάζει équivaut à πολυπραγμονεῖς, tu te mêles de choses dont il ne t'appartient pas de t'occuper. — Cf. *Couronne*, § 72 : Εἰ μὲν γὰρ μὴ ἐχρῆν, ἀλλὰ τὴν Μυσῶν λείαν καλουμένην τὴν Ἑλλάδ' οὖσαν ὀφθῆναι ζώντων καὶ ὄντων Ἀθηναίων, περιείργασμαι μὲν ἐγὼ περὶ τούτων εἰπών, περιείργασται δ' ἡ πόλις ἡ πεισθεῖσ' ἐμοί.

11-12. Ἦν.... ἐν σοὶ καταλῦσαι, il serait honteux de faire en sorte que cette gloire s'arrêtât à toi. Cf. Platon, *Apologie*, p. 28, A : Οὐδὲν δὲ δεινόν, μὴ ἐν ἐμοὶ στῇ (ἡ διαβολή).

13-14. Σοὶ μὲν γὰρ ἦν.... ὅμοιος σοί. L'orateur dit que le père d'Aristomède était un homme obscur, dont on ne sait rien; mais qu'il a dû être un fripon, pour peu qu'il ressemblât à son fils. Il en résulte qu'il n'y avait rien à dire contre le père d'Aristomède, et que cette calomnie par insinuation est tout à fait gratuite. — Hermogène (t. III, p. 171 W) cite ce passage comme exemple de la figure κύκλος, qu'il définit ainsi : γίνεται δέ, ὅταν ἀφ' οὗ ἄρξηταί τις ὀνόματος, εἰς τὸ αὐτὸ καταλήξῃ πάλιν. Cf. Quintilien, IX, III, 34.

15-1. Οὓς πάντες ἴσασιν. Avant ces mots

σεσωσμένοι. [74] Ἀλλὰ γὰρ οὐκ ἴσως οὐδὲ πολιτικῶς ἔνιοι τὰ καθ' αὑτοὺς καὶ τὰ κατὰ τὴν πόλιν πολιτεύονται. Πῶς γάρ ἐστιν ἴσον τούτων μέν τινας ἐκ τοῦ δεσμωτηρίου ἥκοντας ἑαυτοὺς ἀγνοεῖν, τὴν πόλιν δ', ἣ προειστήκει τῶν ἄλλων τέως καὶ τὸ πρωτεῖον εἶχεν, νῦν ἐν ἀδοξίᾳ πάσῃ καὶ ταπεινότητι καθεστάναι;

[75] Πολλὰ τοίνυν ἔχων ἔτι καὶ περὶ πολλῶν εἰπεῖν παύσομαι· καὶ γὰρ οὐ λόγων ἐνδείᾳ μοι δοκεῖ τὰ πράγματ' οὔτε νῦν οὔτ' ἄλλοτε πώποτε φαύλως ἔχειν, ἀλλ' ὅταν πάντ' ἀκούσαντες ὑμεῖς τὰ δέοντα, καὶ ὁμογνώμονες ὡς ὀρθῶς λέγεται γενόμενοι, τῶν λυμαίνεσθαι καὶ διαστρέφειν ταῦτα βουλομένων ἐξ ἴσου κάθησθ' ἀκροώμενοι, οὐκ ἀγνοοῦντες αὐτούς (ἴστε γὰρ εὐθὺς ἰδόντες ἀκριβῶς, τίς μισθοῦ λέγει καὶ ὑπὲρ Φιλίππου πολιτεύεται, καὶ τίς ὡς ἀληθῶς ὑπὲρ τῶν βελτίστων), ἀλλ' ἵν' αἰτιασάμενοι τούτους καὶ τὸ πρᾶγμ' εἰς γέλωτα καὶ λοιδορίαν ἐμβαλόντες μηδὲν αὐτοὶ τῶν δεόντων ποιῆτε. [76] Ταῦτ'

NC. 1. σεσωσμένοι S[1], A[1]. ὑπὸ τῶν προγόνων ἡμῶν (ou sans ημῶν) σεσωσμένοι vulg. — Ἀλλὰ γάρ. Ces mots sont ajoutés dans S par une main du onzième siècle. Vœmel dit : *Turbant contextum*. Il me semble difficile de s'en passer. — 2. κατὰ τὴν πόλιν vulg. καταυτὴν S. Mais, comme les quatre dernières lettres se trouvent sur un endroit gratté, je pense qu'il y avait d'abord κατατὴν, et que πόλιν a été oublié avant πολιτεύονται. — 3. ἥκοντας S. προϊόντας vulg. — 4. τῶν ἄλλων S. τῶν ἄλλων Ἑλλήνων vulg. τῶν Ἑλλήνων Cobet. — 10. λέγετε S. — 12. καθήσεσθ' S. Le futur est inadmissible. εὐθὺς vulg. αὐτοὺς S seul. — 13. καὶ ὑπὲρ Reiske. καὶ τίς ὑπὲρ vulg.

sous-entendez : ἦσαν πατέρες. — Σεσωσμένοι. Suppléez ὑπ' αὐτῶν.

1. Οὐδὲ πολιτικῶς, ni en bons citoyens. Ces mots forment une espèce d'addition parenthétique, car il faut lier οὐκ ἴσως τὰ καθ' αὑτοὺς καὶ τὰ κατὰ τὴν πόλιν ἔνιοι πολιτεύονται. L'orateur revient à son point de départ, à l'idée énoncée au commencement du § 70.

3-4. Ἴσον, *æquum*. Les idées d'égalité et d'équité se confondent dans ce mot. [Rehdantz.] — Ἑαυτοὺς ἀγνοεῖν, oublient ce qu'ils sont, se font illusion sur leur valeur. Cf. γνῶθι σαυτόν, précepte qui n'avait pas primitivement le sens que Socrate et Platon y ont attaché. Voy. Éd. Tournier, *Némésis*, p. 178.

8. Οὐ λόγων ἐνδείᾳ. Pensée développée aux §§ 2 et 3.

9. Ἀλλ' ὅταν, mais (vos affaires tournent mal) lorsque. Ὅτι serait plus logique, mais aussi plus absolu, que ὅταν.

11. Ἐξ ἴσου, avec la même faveur que les conseillers honnêtes.

12-13. Εὐθὺς ἰδόντες, de suite, à première vue. Dans cette locution usuelle et les analogues, le participe développe et précise l'idée indiquée par l'adverbe.

16-2. Ταῦτ' ἐστὶν.... εἰρημένα, voilà, conformément à la vérité, en toute franchise et sans feinte, ce que le dévouement me fait dire pour votre plus grand bien. La locution τὰ βέλτιστα joue le rôle d'un substantif. L'adjectif ἀληθῆ, qui s'y rapporte grammaticalement, se rattache par le sens à μετὰ παρρησίας, mots qui, à leur tour, ne doivent pas être séparés de ἁπλῶς. Cf. *Phil.* I, 51 : Ἁπλῶς, οὐδὲν

ἐστὶν, ἀληθῆ μετὰ πάσης παρρησίας ἁπλῶς, εὐνοίᾳ τὰ βέλτιστ' εἰρημένα, οὐ κολακείᾳ βλάβης καὶ ἀπάτης λόγος μεστὸς, ἀργύριον τῷ λέγοντι ποιήσων, τὰ δὲ πράγματα τῆς πόλεως τοῖς ἐχθροῖς ἐγχειριῶν. Ἢ οὖν παυστέον τούτων τῶν ἐθῶν, ἢ μηδέν' ἄλλον αἰτιατέον τοῦ πάντα φαύλως ἔχειν ἢ ὑμᾶς αὐτούς.

NC. 1-2. ἐστὶν ἀληθῆ S. ἐστὶ τἀληθῆ vulg. Nous avons modifié la ponctuation de ce passage, ainsi imprimé dans les dernières éditions : ταῦτ' ἐστὶν ἀληθῆ μετὰ πάσης παρρησίας, ἁπλῶς εὐνοίᾳ, τὰ β. εἰρ. Voir la note explicative. — 2. κολακείαι S. κολακείας καὶ vulg. — 3. ἀργύριον (μὲν ajouté d'une main ancienne) S. ἀργύριον μὲν vulg. — περιποιήσων Herwerden.

ὑποστειλάμενος, πεπαρρησίασμαι. D'un autre côté, les mots εὐνοίᾳ τὰ βέλτισθ' εἰρημένα se tiennent : cela se voit par l'antithèse κολακείᾳ (sous-ent. εἰρημένος) βλάβης καὶ ἀπάτης λόγος μεστός, « un discours inspiré par l'adulation et plein de fraude pernicieuse. »

4. Τούτων τῶν ἐθῶν. Ces mots se réfèrent aux déplorables habitudes décrites dans le § 75, et rappelées, si l'on veut, par les lignes immédiatement précédentes : car les orateurs n'oseraient pas trahir les intérêts de la république, s'ils ne comptaient sur l'indulgence du peuple. Cependant les idées se suivent mal, et il faut sans doute regarder les §§ 75-76 comme deux épilogues distincts dont le second (ταῦτ' ἐστὶν... ἐγχειριῶν) se trouve, tant bien que mal, inséré dans le premier. Voy. Blass, *Att. Bereds*. III, 1, p. 343

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ

NOTICE.

Philippe avait fait depuis 342 la guerre dans la Thrace orientale, il avait soumis le bassin de l'Hèbre, avait franchi l'Hémus, dépossédé les rois Cersoblepte et Térès, enfin il s'était rendu maître du pays qui domine du côté de l'Europe la côte de la Propontide et les deux détroits. Sous l'archonte Théophraste (Olymp. CX, 1), dans la seconde moitié de l'année 340 avant J. C., Philippe essaya de s'emparer des villes grecques de la côte. Périnthe, assistée par les satrapes de l'Asie Mineure, fit une résistance obstinée et heureuse. Repoussé de ce côté, le roi de Macédoine mit le siége devant Byzance, ville qui, après beaucoup d'hésitations, avait enfin conclu un traité d'alliance avec Athènes. La guerre entre Athènes et la Macédoine n'était pas encore déclarée ; mais des actes plus ou moins ouvertement hostiles avaient été commis de côté et d'autre, et donnèrent lieu à des récriminations mutuelles. Philippe avait fait passer des troupes par la Chersonèse de Thrace, territoire athénien ; mais il est vrai que depuis longtemps les colons attiques de cette péninsule, menacés dans leurs intérêts, dans leur existence même, par les progrès des armes macédoniennes, prenaient, sous la conduite de Diopithe, une attitude très-ferme, quelquefois même agressive. D'autres griefs furent allégués par les deux adversaires. Philippe résuma les siens dans une dépêche menaçante, qui fit succéder la lutte ouverte, avouée, aux sourdes hostilités. Après avoir entendu la lecture de cette dépêche, les Athéniens décrétèrent, sur la motion de Démosthène, de renverser la *stèle* où était gravé le traité de paix et d'alliance, d'équiper des vaisseaux et de prendre toutes les autres mesures qu'exigeait la guerre [1].

1. Denys d'Halicarnasse (*Lettre à Ammée*, I, 11) donne de précieux extraits de Philochore, grâce auxquels nous connaissons avec certitude les dates et les faits principaux : Ἐπὶ δὲ Θεοφράστου, τοῦ μετὰ Νικόμαχον ἄρξαντος, ἐλύθησαν (αἱ συνθῆκαι), Ἀθηναίων μὲν Φίλιππον αἰτιωμένων ἄρχειν τοῦ πολέμου, Φιλίππου δ' Ἀθηναίοις ἐγκαλοῦντος. Τὰς δ' αἰτίας δι' ἃς εἰς τὸν πόλεμον κατέστησαν ἀδικεῖσθαι λέγοντες ἀμφότεροι, καὶ τὸν χρόνον, ἐν ᾧ τὴν εἰρήνην ἔλυσαν, ἀκριβῶς δηλοῖ Φιλόχορος ἐν τῇ ἕκτῃ τῆς Ἀτθίδος βίβλῳ. Θήσω δ' ἐξ αὐτῆς τἀναγκαιότατα · « Θεόφραστος Ἀλαιεύς. Ἐπὶ τούτου Φίλιππος τὸ μὲν πρῶτον ἀναπλεύσας Περίνθῳ προσέβαλεν · ἀποτυχὼν δ' ἐντεῦθεν Βυζάντιον ἐπολιόρκει καὶ μηχανήματα προσῆγεν. » Ἔπειτα διεξελθὼν ὅσα τοῖς Ἀθηναίοις ὁ Φίλιππος ἐνεκάλει διὰ τῆς ἐπιστολῆς, ταῦτα πάλιν κατὰ λέξιν ἐπιτίθησιν · « Ὁ δὲ δῆμος, ἀκούσας τῆς ἐπιστολῆς, καὶ Δημοσθένους παρακαλέσαντος αὐτοὺς πρὸς τὸν πόλεμον καὶ ψή-

Possédons-nous encore la dépêche que Philippe adressa au peuple d'Athènes et que Philochore avait analysée? Depuis Taylor, plusieurs critiques ont contesté l'authenticité de la lettre qui nous est parvenue avec les œuvres de Démosthène[1]. Ils ont pensé que le style de cette pièce trahissait plutôt l'école d'un rhéteur que la chancellerie d'un prince; ils ont cru y découvrir quelques erreurs historiques; enfin ils semblent avoir été mis en défiance par d'autres documents, certainement apocryphes, insérés dans certains discours de Démosthène. Cependant ces mêmes critiques accordent que l'auteur de cette pièce est généralement bien informé et digne de foi, qu'il a dû avoir à sa disposition des matériaux excellents.

Examinons la question à notre tour. La Lettre répond par sa forme et sa disposition à l'idée que la harangue sur l'Halonnèse peut donner d'une dépêche antérieure de Philippe. Elle répond aussi à ce que nous savons de l'analyse de Philochore, puisqu'elle contient une série de griefs, et Denys, qui pouvait comparer cette analyse avec notre Lettre, semble avoir considéré cette dernière comme authentique[2]. Enfin la Lettre peut se concilier avec ce que Démosthène dit dans le discours de la Couronne de la dépêche décisive de Philippe. L'orateur en donne une idée incomplète, et il s'exprime de manière à induire en erreur des lecteurs peu défiants. Il assure que son nom n'y était pas prononcé[3] : ce qui est exact. Il semble laisser entendre que d'autres orateurs y étaient nominalement attaqués (ce qui serait contraire au texte de notre Lettre); mais, en réalité, il le dit si peu qu'il fait lire certains décrets d'Eubule, d'Aristophon et d'autres, afin d'établir que les actes de ces hommes sont indirectement incriminés par Philippe. Dans ces décrets, il s'agissait sans doute des ravages exercés par les Macédoniens dans l'île de Pérapèthe, des droits d'Athènes sur l'Halonnèse et sur Amphipolis[4] : choses qui sont discutées dans notre Lettre. L'orateur ajoute que Philippe n'y accusait non plus aucun des actes politiques de Démosthène, ni les ambassades envoyées dans le Péloponnèse et dans l'Eubée, ni les expéditions d'Oréos et d'Érétrie. En

φισμα γράψαντος, ἐχειρότονησε· τὴν μὲν στήλην καθελεῖν τὴν περὶ τῆς πρὸς Φίλιππον εἰρήνης καὶ συμμαχίας σταθεῖσαν, ναῦς δὲ πληροῦν καὶ τἄλλ' ἐνεργεῖν τὰ τοῦ πολέμου. » Les mots ταῦτα πάλιν.... ἀκούσας τῆς ἐπιστολῆς ont été tirés par van Herwerden du *codex Ambrosianus*. Les autres manuscrits, ainsi que les éditions, les omettent, un copiste ayant été induit en erreur par le retour des mots τῆς ἐπιστολῆς.

1. Plusieurs manuscrits, et particulièrement S, ne contiennent pas cette lettre : apparemment parce qu'elle n'est pas de Démosthène. Cette omission, on l'a dit avec raison, ne saurait rendre ce document suspect.

2. Denys, *l. c.*, διὰ τῆς ἐπιστολῆς, « par la lettre, » c'est-à-dire par la lettre connue, la lettre que l'on sait. Je conclus de l'emploi de l'article que Denys fait allusion à la lettre conservée.

3. *Couronne*, § 79.

4. Voy. *Couronne*, §§ 69 et 70, rapprochés du § 75. Les décrets qu'on y lit sont certainement faux. La lettre, extrêmement conciliante, de Philippe n'est pas authentique non plus, et, le fût-elle, encore se trouverait-elle insérée mal à propos à l'endroit qu'elle occupe, et ne pourrait-elle être regardée comme le document auquel il est fait allusion dans le texte du discours.

effet, notre lettre ne mentionne aucun de ces faits. Il est vrai que d'autres mesures conseillées par Démosthène y sont reprochées aux Athéniens, et que les insinuations à l'endroit des orateurs patriotes portent aussi sur lui; mais Démosthène était trop habile pour ne pas passer sous silence ce qui pouvait nuire à son apologie.

[7] Πρὸς τοίνυν τούτοις τηλικούτοις οὖσιν, οὐκ ἐρῶ μὲν ὡς οὐ διὰ τὴν εἰρήνην πολλὰ προείληφεν ἡμῶν χωρία καὶ λιμένας καὶ τοιαῦθ' ἕτερα χρήσιμα πρὸς πόλεμον, ὁρῶ δὲ, ὡς ὅταν μὲν ὑπ' εὐνοίας τὰ πράγματα συνέχηται καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τῶν πολέμων, μένει τὰ συσταθέντα βεβαίως· ὅταν δ' ἐξ ἐπιβουλῆς καὶ πλεονεξίας ἀπάτῃ καὶ βίᾳ κατέχηται, καθάπερ ὑπὸ τούτου νῦν, μικρὰ πρόφασις καὶ τὸ τυχὸν πταῖσμα ταχέως αὐτὰ διέσεισε καὶ κατέλυσεν. [8] Καὶ πολλάκις εὑρίσκω λογιζόμενος οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ τῷ Φιλίππῳ πρὸς ὑποψίαν ἥκοντα καὶ δυσμένειαν, ἀλλὰ καὶ τὰ τῆς ἰδίας ἀρχῆς οὐ συνηρμοσμένα καλῶς οὐδ' οἰκείως οὐδ' ὡς οἴεταί τις. Ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις ἐν μὲν προσθήκης μέρει ῥοπήν ἔχει τινὰ καὶ χρῆσιν, αὐτὴ δὲ καθ' αὑτὴν

NC. 2. σύμπαντες Cobet. — 5. ῥαιδίως ἂν (mais non καταπολεμήσειε) A¹. — 6. τούτοις τοίνυν vulg. — 9. πᾶσι ταῦτα S, et *Olynth.* II, 9. ταὐτὰ πᾶσι vulg. — συμφέρει vulg. — 13. αὐτὰ S. ἅπαντα vulg. Cette dernière leçon est à sa place dans l'autre discours. — κατέλυσεν S seul. διέλυσε vulg., d'après *Olynth.* II.

3-4. Ὁποτέροις πρόσθοιτο. A la fin de la guerre du Péloponnèse, le roi des Perses paya des subsides aux Lacédémoniens; plus tard, du temps d'Agésilas, il soutint Athènes contre Sparte. Cf. *Phil.* IV, 51.

5. « Bellissimum est ῥᾳδίως. » [Cobet.]

6-13. Πρὸς τοίνυν.... Le § 7 est imité d'*Ol.* II, 9. — Μένει τὰ συσταθέντα βεβαίως. Ces mots répondent, par une antithèse exacte, à la fin de la période : μικρὰ πρόφασις.... κατέλυσεν. C'est sans doute par ce motif qu'ils ont été substitués au texte original, qui présente une peinture bien autrement vive : καὶ συμπονεῖν καὶ φέρειν τὰς συμφορὰς καὶ μένειν ἐθέλουσιν ἄνθρωποι. Le rhéteur croyait sans doute corriger Démosthène. — Διέσεισε est moins hardi que ἀνεχαίτισε, qu'on lit dans l'autre discours.

13-17. Καὶ πολλάκις.... ὡς οἴεταί τις. Cette période répond à celle qui termine *Olynth.* II, 13. — Τῷ Φιλίππῳ πρὸς ὑποψίαν ἥκοντα, ils en sont venus à se défier de Philippe. Cette locution n'est pas tout à fait synonyme de δι' ὑποψίας ἰόντα ou ὑπόπτως ἔχοντα. — Οὐ συνηρμοσμένα καλῶς.... οἴεταί τις. Cf. *Olynth.* I, 21 : Οὔτε γὰρ, ὡς δοκεῖ καὶ φήσειέ τις ἄν.... οὐδ' ὡς ἂν κάλλιστ' αὐτῷ τὰ παρόντ' ἔχει.

17-18. Ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις.... A partir de ces mots jusqu'à la fin du § 14, l'auteur a reproduit ou paraphrasé les §§ 14-21 de la deuxième Olynthienne. — Χρῆσιν, *usum*, usage. Larcher dit (*l. c.* p. 262) que χρῆσις est ici employé dans le sens d'*utilité*, d'*avantage*, et que c'est là un néologisme étranger au siècle de Démosthène. Je ne vois pas ce qui empêche de traduire par *usage*, et la distinction est bien subtile. Cf. Pindare,

ἀσθενής ἐστι καὶ πρὸς τηλικοῦτον ὄγκον πραγμάτων εὐκαταφρόνητος· [9] ἔτι δ' αὐτὴν οὗτος τοῖς πολέμοις καὶ ταῖς στρατείαις καὶ πᾶσιν οἷς ἄν τις αὐτὸν μέγαν εἶναι νομίσειε, σφαλερωτέραν αὑτῷ πεποίηκεν. Μὴ γὰρ οἴεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς χαίρειν Φίλιππόν τε καὶ τοὺς ἀρχομένους, ἀλλ' ἐννοεῖσθ', ὡς ὁ μὲν ἐπιθυμεῖ δόξης, οἱ δ' ἀσφαλείας, καὶ αὐτῷ μὲν οὐκ ἔστι τυχεῖν ταύτης ἀκινδύνως, οἱ δ' οὐδὲν δέονται, καταλείποντες οἴκοι τέκνα, γονέας, γυναῖκας, φθείρεσθαι καὶ καθ' ἑκάστην ἡμέραν κινδυνεύειν ὑπὲρ αὐτοῦ. [10] Ὥστε τοὺς μὲν πολλοὺς 155 τῶν Μακεδόνων ἐκ τούτων ἄν τις ἴδοι πῶς διάκεινται πρὸς τὸν Φίλιππον· τοὺς δὲ περὶ αὐτὸν ὄντας ἑταίρους καὶ τοὺς τῶν ξένων ἡγεμόνας εὑρήσετε δόξαν μὲν ἔχοντας ἐπ' ἀνδρείᾳ, περιδεῶς δὲ μᾶλλον τῶν ἀδόξων ζῶντας. Τοῖς μὲν γὰρ πρὸς τοὺς πολεμίους μόνον ὑπάρχει κίνδυνος, οἱ δὲ τοὺς κόλακας καὶ τοὺς διαβάλλοντας αὐτοὺς μᾶλλον ἢ τὰς μάχας δεδίασιν. [11] Κἀκεῖνοι μὲν μετὰ πάντων ἀγωνίζονται πρὸς τοὺς ἀντιταχθέντας, τοῖς δὲ καὶ τῶν ἐν τοῖς πολέμοις κακῶν οὐκ ἐλά-

NC. 2. οὗτος S. αὐτὸς var. οὗτος αὐτὸς vulg. — στρατίαις S, A. — 7. οὐδὲν. La seconde syllabe de ce mot a été oubliée dans S, à cause du mot suivant δέονται. — καταλιπόντες vulg. — 9. ὑπὲρ αὐτοῦ vulg. ὑπὲρ αὐτῶν S. Je ne m'explique pas comment Vœmel et Dindorf ont pu admettre ce contre-sens. — 12. εὑρήσεται S. — 13. ενδόξων, avec ἀδό écrit au-dessus des deux premières syllabes par une main ancienne, S. — πρὸς. Variante : ὁ πρὸς.

Olymp. X (XI), 1 : Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα χρῆσις.

1-2. Πρὸς τηλικοῦτον ὄγκον πραγμάτων εὐκαταφρόνητος, insignifiante par rapport aux vastes entreprises de Philippe. A la suite de ces mots, la transition ἔτι δ(έ) me semble moins convenable que καὶ γάρ, qui se trouve dans l'autre discours.

5-9. Ἀλλ' ἐννοεῖσθ(ε) répond à μὴ γὰρ οἴεσθε. Cette régularité est bien moins vive que la tournure de Démosthène : ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ κτλ. — Τυχεῖν ταύτης, c'est-à-dire τῆς δόξης. — Οὐδὲν δέονται, ils n'éprouvent pas le besoin, ils n'ont aucune envie, rien ne les presse. Ne traduisez pas, comme Larcher, : « ils n'ont pas besoin. » Rebdantz cite Isocrate, *Aréopag.* § 25 : Χαλεπώτερον ἦν ἐν ἐκείνοις τοῖς χρόνοις εὑρεῖν τοὺς βουλομένους ἄρχειν ἢ νῦν τοὺς μηδὲν δεομένους. — Καταλείποντες οἴκοι τέκνα, γονέας, γυναῖκας. Ce lieu commun a pris la place des détails précis qu'on lit dans la deuxième Olynthienne, § 16. Il est vrai qu'un de ces détails, celui qui est relatif au blocus des ports macédoniens par la flotte d'Athènes, n'était plus de mise. — Φθείρεσθαι, « con« tabescere, absumi molestiis. » [Reiske.]

13 sqq. Τοῖς μὲν γὰρ πρὸς τοὺς πολεμίους.... Si le parallèle entre la condition des simples soldats macédoniens et de l'élite distinguée par Philippe se trouve ici si longuement développé, c'est, ce semble, pour l'amour des antithèses. On n'en voit pas l'à-propos pratique. Dans la deuxième Olynthienne, Démosthène peint la triste situation des gardes du corps du roi, des chefs qui l'entouraient; mais il ne la met pas en opposition avec celle des simples soldats.

χιστον μέρος μέτεστι καὶ χωρὶς ἰδίᾳ τὸν τρόπον τὸν τοῦ βασιλέως φοβεῖσθαι συμβέβηκεν. Ἔτι δὲ τῶν μὲν πολλῶν ἐὰν ἁμάρτῃ τις, ζημίας κατὰ τὴν ἀξίαν εἴληφεν· οἱ δ' ὅταν μάλιστα κατορθώσωσιν, τότε μάλιστα σκορακίζονται καὶ προπηλακίζονται, παρὰ τὸ προσῆκον. [12] Καὶ τούτοις οὐδ' ἂν εἷς εὖ φρονῶν ἀπιστήσειεν· οὕτω γὰρ φιλότιμον αὐτὸν εἶναί φασιν οἱ συνδιατρίψαντες ὥστε βουλόμενον τὰ κάλλιστα τῶν ἔργων πάνθ' αὑτοῦ δοκεῖν εἶναι μᾶλλον ἄχθεσθαι τῶν στρατηγῶν καὶ τῶν ἡγεμόνων τοῖς ἄξιον ἐπαίνου τι πράξασιν ἢ τοῖς ὅλως ἀποτυχοῦσιν. [13] Πῶς οὖν, εἴπερ ἐστὶ ταῦτα τοιαῦτα, πιστῶς ἤδη πολὺν χρόνον αὐτῷ παραμένουσιν; Ὅτι νῦν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς τοιούτοις· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀνθρώπων εἰσίν· εἰ δέ τι πταίσει, τότ' ἀκριβῶς διακαλυφθήσεται ταῦτα πάντα. [14] Συμβαίνει γάρ, ὥσπερ ἐν τοῖς σώμασιν ἡμῶν· ὅταν μὲν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν, ἐπὰν δ' ἀρρωστήσῃ, πάντα κινεῖται,
156 κἂν ῥῆγμα κἂν στρέμμα κἂν ἄλλο τι τῶν ὑπαρχόντων ᾖ μὴ τελέως ὑγιεινόν· οὕτω καὶ τῶν βασιλειῶν καὶ ἁπασῶν τῶν δυναστειῶν, ἕως μὲν ἂν ἐν τοῖς πολέμοις κατορθῶσιν, ἀφανῆ

NC. 1-2. ἰδίᾳ τὸν τρόπον.... φοβεῖσθαι συμβέβηκεν S. ἰδίᾳ φοβεῖσθαι τὸν τρόπον.... συμβέβηκεν vulg. — 2. ἐὰν S. ἐπειδὰν vulg. — 3. ζημίας S seul. ζημίαν vulg. — ἔτυχεν Cobet. — 3-4. μέγιστα (ou τὰ μέγιστα) vulg. — 6. φιλότιμον αὐτὸν S seul. αὐτὸν φιλότιμον vulg. — 13. καὶ συσκιάσαι. Cf. *Olynth.* II, 20, NC. — 14. τῶν ἀνθρώπων εἰσίν. Vulg. : εἰσὶ τῶν ἀνθρώπων. — 15. ταῦτα πάντα S. πάντα ταῦτα vulg. — 19. ὑγιεινόν. Variante : ὑγιαῖνον. — ἁπασῶν S. πασῶν vulg.

1-4. Χωρὶς ἰδίᾳ. « Cave putes ἐκ παραλλήλου posita. Χωρὶς, scil. τούτων, « *præterea* : ἰδίᾳ, *privatim.* » [G. H. Schæfer.] — Σκορακίζονται. Ce verbe, tiré de la locution ἐς κόρακας, ne se trouve pas dans ce que nous avons de Démosthène et des écrivains de son époque. L'auteur de ce pastiche aurait-il lu σκορακισμούς, pour κορδακισμούς, au § 18 de la deuxième Olynthienne?

5-6. Καὶ τούτοις οὐδ' ἂν εἷς εὖ φρονῶν ἀπιστήσειεν. Démosthène, *ib.* 19, dit simplement δῆλον δ' ὅτι ταῦτ' ἐστιν ἀληθῆ.

10-11. Πῶς οὖν.... παραμένουσιν; Objection très-sensée et, par là même, maladroite. Pour y répondre, l'auteur aurait dû, ce semble, autrement tourner les considérations suivantes qu'il a empruntées à l'autre discours.

16-4. Οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν. Démosthène dit οὐδὲν ἐπαισθάνεται tout court. L'imitateur a sans doute jugé que cette concision n'était pas assez claire. — Ἕως μὲν ἄν.... L'auteur a bien fait de modifier le passage correspondant, afin de l'approprier à une autre situation.

τὰ κακά ἐστι τοῖς πολλοῖς, ἐπὰν δέ τι πταίσωσιν, ὃ νῦν παθεῖν εἰκὸς ἐκεῖνον μεῖζον φορτίον ἢ καθ' αὑτὸν αἰρόμενον, γίγνεται φανερὰ τὰ δυσχερῆ πάντα τοῖς ἅπασιν.

[15] Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον ὁρῶν εὐτυχοῦντα φοβερὸν εἶναι νομίζει καὶ δυσπολέμητον, σώφρονος μὲν ἀνδρὸς χρῆται προνοίᾳ· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ τὸ ὅλον ἡ τύχη ἐστὶ πρὸς ἅπαντα τὰ τῶν ἀνθρώπων πράγματα· κατὰ πολλοὺς μέντοι τρόπους ἕλοιτ' ἄν τις οὐχ ἧττον τὴν ἡμετέραν εὐτυχίαν ἢ τὴν ἐκείνου. [16] Παρά τε γὰρ τῶν προγόνων ἐκ πλείονος χρόνου παρειλήφαμεν τὴν εὐδαιμονίαν οὐ τούτου μόνον, ἀλλὰ συνελόντι φράσαι πάντων τῶν ἐν Μακεδονίᾳ βασιλευσάντων· κἀκεῖνοι μὲν Ἀθηναίοις φόρους ἤνεγκαν, ἡ δ' ἡμετέρα πόλις οὐδενί πω τῶν ἁπάντων. Ἔτι δὲ τοσούτῳ πλείους ἀφορμὰς αὐτοῦ πρὸς τὴν τῶν θεῶν εὔνοιαν ἔχομεν, ὅσῳ διατελοῦμεν εὐσεβέστερα καὶ δικαιότερα πράττοντες. [17] Τί ποτ' οὖν ἐκεῖνος ἐν τῷ προτέρῳ πολέμῳ πλείω κατώρθωσεν ἡμῶν; Ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, (παρρησιάσομαι γὰρ πρὸς ὑμᾶς) ὁ μὲν αὐτὸς στρατεύεται καὶ ταλαιπωρεῖ καὶ τοῖς κινδύνοις πάρεστιν, οὔτε καιρὸν παριεὶς οὔθ' ὥραν ἔτους παραλείπων

NC. 1. ἐστι τοῖς πολλοῖς S. τοῖς πολλοῖς ἐστιν vulg. — τι, avant πταίσωσιν, est omis dans S. — 1-2. εἰκὸς παθεῖν vulg. — ἀράμενον vulg. — 10. ἡγεμονίαν vulg. — 13. ἁπάντων ἀνθρώπων vulg. — 14. πρὸς τὴν παρὰ τὴν τῶν θεῶν A. Cf. *Ol.* II, 22.

2. Μεῖζον φορτίον.... αἰρόμενον. Cf. Horace, *Art poét.* 39 : « Versate diu, quid « ferre recusent, quid valeant humeri. »

4-5. Εἰ δέ τις ὑμῶν.... Les §§ 15-19 répondent à *Olynth.* II, 22-26. — Φοβερὸν εἶναι νομίζει καὶ δυσπολέμητον. C'est comme la petite monnaie de φοβερὸν προσπολεμῆσαι νομίζει.

8-9. Κατὰ πολλοὺς.... τρόπους, de toute façon : cf. *Symmories*, § 10 : Μηδ' ἐξ ἑνὸς τρόπου. Ici l'imitateur a supprimé la restriction essentielle : ἐθελόντων ἃ προσήκει ποιεῖν ὑμῶν αὐτῶν καὶ κατὰ μικρόν. Il a ôté l'aiguillon.

9-12. Παρά τε γάρ.... L'auteur voulait peut-être dire que la prospérité d'Athènes était plus ancienne, non que celle des rois de Macédoine, mais que le royaume macédonien. [Cobet.] La conjonction τε a pour corrélatif ἔτι δέ, l. 13. — Συνελόντι φράσαι équivaut à εἴ τις ξυνελὼν φαίη (Thucydide, I, 70). Le participe est au masculin. Cf. Tite-Live, VII, 10, 6 : « Duo.... « nequaquam visu ac specie æstimantibus « pares. »

12. Ἀθηναίοις φόρους ἤνεγκαν. Cf. *Olynth.* III, 24. *Halonnèse*, § 12.

15-16. Τί πότ' οὖν.... Cf. § 13.

17-3. Ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι.... λέγεται νεώτερον. Comparez *Olynth.* II, 23 : Οὐ δὴ θαυμαστόν ἐστιν εἰ στρατευόμενος καὶ πονῶν ἐκεῖνος αὐτὸς καὶ παρὼν ἐφ' ἅπασι καὶ μηδένα καιρὸν μηδ' ὥραν παραλείπων ἡμῶν μελλόντων καὶ ψηφιζομένων καὶ πυνθανομένων περιγίγνεται. La rapidité de Démosthène, l'énergie de sa phrase repliée sur elle-même, ramassée et lancée comme un trait, sont

οὐδεμίαν, ἡμεῖς δὲ (εἰρήσεται γὰρ τἀληθῆ) οὐδὲν ποιοῦντες ἐνθάδε καθήμεθα, μέλλοντες ἀεὶ καὶ ψηφιζόμενοι καὶ πυνθα-
157 νόμενοι κατὰ τὴν ἀγορὰν εἴ τι λέγεται νεώτερον. Καίτοι τί γένοιτ' ἂν νεώτερον ἢ Μακεδὼν ἀνὴρ καταφρονῶν Ἀθηναίων καὶ τολμῶν ἐπιστολὰς πέμπειν τοιαύτας οἵας ἠκούσατε μικρῷ πρότερον; [18] Καὶ τῷ μὲν ὑπάρχουσι μισθοφόροι στρατιῶται καὶ νὴ Δία πρὸς τούτοις τῶν παρ' ἡμῖν ῥητόρων τινές, οἳ τὰς παρ' ἐκείνου δωρεὰς οἴκαδε λαμβάνειν νομίζοντες οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες, οὐδ' αἰσθάνονται πάντα καὶ τὰ τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πωλοῦντες. Ἡμεῖς δ' οὔτε τῶν ἐκείνου πραγμάτων οὐδὲν στασιάζειν παρασκευάζομεν, οὔτε ξενοτροφεῖν ἐθέλομεν, οὔτ' αὐτοὶ στρατεύεσθαι τολμῶμεν. [19] Οὔκουν ἐστὶν οὐδὲν δεινόν, εἴ τι πεπλεονέκτηκεν ἡμῶν κατὰ τὸν πρότερον πόλεμον, ἀλλὰ μᾶλλον εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν προσήκει τοὺς πολεμοῦντας, νομίζομεν κρατήσειν τοῦ πάντα πράττοντος ἃ δεῖ τοὺς πλεονεκτήσειν μέλλοντας.

[20] Ὧν, ὦ ἄνδρες Ἀθηναῖοι, χρὴ λαβόντας ἔννοιαν, καὶ λογισαμένους ὡς οὐδ' ἐφ' ἡμῖν ἐστι τὸ φάσκειν ἄγειν εἰρήνην

NC. 1. ταληθῆ S. τἀληθές vulg. — 6. ὑπάρχουσιν S. — 7. παρ' ἡμῖν. S et vulg. παρ' ἡμῶν. — 8. ἐκείνων S seul. — λαμβάνειν νομίζοντες S, A. λαμβάνοντες vulg. — Cobet écarte αἰσχύνονται.... οὐδ'. — 9-10. καὶ τὰ τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν vulg. κατὰ τῆς πόλεως καὶ τὰς φωνὰς αὐτῶν S seul. Vœmel n'aurait pas dû admettre cette dernière leçon, qui n'est qu'une erreur de copiste. — 12. αὐτοί, après οὔτε, manque dans S. Cf. *Chers.* § 21. — 13. θαυμαστὸν vulg. et *Olynth.* II, 23. — 19. Peut-être ὡς οὐχ... οὐδὲ τὸ.

affaiblies, brisées, délayées par l'imitateur.

3-5. Καίτοι τί γένοιτ' ἄν.... Souvenir de la première Philippique, § 10, que le mot πυνθανόμενοι a rappelé à l'auteur de ce pastiche. — Ἐπιστολὰς τοιαύτας. Cf. *Phil.* I, 37.

6-7. Μισθοφόροι ne se rapporte pas seulement à στρατιῶται, mais aussi à ῥητόρων τινές. — Οἳ τὰς παρ' ἐκείνου δωρεάς.... Cf. *Halonnèse*, § 17, avec la note. Le rhéteur a imité ce passage, qu'il croyait sans doute de Démosthène, mais il y a jeté une certaine confusion en transposant les mots οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες.

11-12. Τῶν ἐκείνου πραγμάτων οὐδὲν στασιάζειν παρασκευάζομεν équivaut à ἐν τοῖς ἐκείνου πράγμασιν οὐδεμίαν στάσιν παρασκευάζομεν. Ceux qui prétendent que στασιάζειν doit être pris ici, contrairement à l'usage classique, dans le sens transitif, confondent παρασκευάζομεν avec le moyen παρασκευαζόμεθα. Quant à l'ensemble de la période, cf. *Cherson.* § 21.

13-17. Οὔκουν ἐστὶν.... πλεονεκτήσειν μέλλοντας. Ici nous revenons à l'imitation de la deuxième Olynthienne, § 23.

19. Τὸ φάσκειν ἄγειν εἰρήνην. L'orateur dit que l'illusion même qui était encore possible avant la lettre de Philippe ne l'est plus aujourd'hui. Cf. *Phil.* III, 8.

(ἤδη γὰρ ἐκεῖνος καὶ προηγόρευκε τὸν πόλεμον καὶ τοῖς ἔργοις ἐξενήνοχε), μηδενὸς μὲν φείδεσθαι μήτε τῶν δημοσίων μήτε τῶν ἰδίων, στρατεύεσθαι δὲ, ἄν που καιρὸς ᾖ, προθύμως ἅπαντας, χρῆσθαι δὲ στρατηγοῖς ἀμείνοσιν ἢ πρότερον. [21] Μὴ γὰρ ὑπολάβῃ τις ὑμῶν, δι' ὧν ἐγένετο τὰ πράγματα χείρω τὰ τῆς πόλεως, διὰ τούτων αὐτὰ πάλιν ἀναλήψεσθαι καὶ γενήσεσθαι βελτίω· μηδὲ νομίσητε ῥᾳθυμούντων ὑμῶν, ὥσπερ πρότερον, ἑτέρους ὑπὲρ τῶν ὑμετέρων ἀγωνιεῖσθαι προθύμως· ἀλλ' ἐννοεῖσθ' ὡς αἰσχρόν ἐστι τοὺς μὲν πατέρας ὑμῶν πολλοὺς πό- 158
νους καὶ μεγάλους κινδύνους ὑποστῆναι Λακεδαιμονίοις πολεμοῦντας, ὑμᾶς δὲ μηδ' ὑπὲρ ὧν ἐκεῖνοι δικαίως κτησάμενοι παρέδοσαν ὑμῖν ἐθέλειν ἐρρωμένως ἀμύνεσθαι, [22] ἀλλὰ τὸν μὲν ἐκ Μακεδονίας ὁρμώμενον οὕτως εἶναι φιλοκίνδυνον ὥσθ' ὑπὲρ τοῦ μείζω ποιῆσαι τὴν ἀρχὴν κατατετρῶσθαι πᾶν τὸ σῶμα τοῖς πολεμίοις μαχόμενον, Ἀθηναίους δὲ, οἷς πάτριόν ἐστι μηδενὸς ἀκούειν, ἁπάντων δὲ κρατεῖν ἐν τοῖς πολέμοις, τούτους διὰ ῥᾳθυμίαν ἢ μαλακίαν ἐγκαταλείπειν τά τε τῶν προγόνων ἔργα καὶ τὰ συμφέροντα τῆς πατρίδος.

[23] Ἵνα δὲ μὴ μακρολογῶ, φημὶ χρῆναι παρεσκευάσθαι

NC. 1. προηγόρευσε S. — 4. J'aimerais mieux γνώμαις ἀμείνοσιν. — 5. ὑπολάβοι vulg. — Après δι' ὧν, la vulgate (admise par Bekker et Dindorf) porte ἐκ χρηστῶν, mots qui se trouvent à leur place dans la deuxième *Olynth.*, § 26, où ils sont suivis, non de χείρω, mais du positif φαῦλα, ainsi que d'une antithèse qui y répond. — 7 et 9. ὑμῶν vulg. ἡμῶν S. — 10. μεγάλους κινδύνους S. κινδύνους μεγάλους vulg. — 11. ὑμᾶς vulg. ἡμᾶς. S. — 12. ὑμῖν. S et vulgate : ἡμῖν. — 16. ἀκούειν S. ὑπακούειν vulg. — 17. διὰ ῥᾳθυμίαν ἢ μαλακίαν ἐγκαταλείπειν S seul. διὰ μαλακίαν ἢ ῥᾳθυμίαν ἐγκαταλιπεῖν vulg. — 19. παρεσκευάσθαι S seul. πάντας ἡμᾶς παρασκευάσασθαι vulg.

1. Προηγόρευσε τὸν πόλεμον. Cf. § 1.

2-3. Μηδενὸς μὲν φείδεσθαι μήτε τῶν δημοσίων.... C'est demander implicitement que les fonds du Théorique soient affectés aux besoins de la guerre. — Ἂν που καιρὸς ᾖ. Ces mots ont été critiqués à tort. L'orateur ne demande pas qu'on ajourne les opérations militaires. Il veut qu'on fournisse de suite de quoi subvenir aux frais d'un corps d'armée mercenaire, et que les citoyens se tiennent tout prêts à entrer eux-mêmes en campagne à la première occasion.

4 sqq. Μὴ γὰρ ὑπολάβῃ τις.... On trouve les éléments du § 21, rangés dans un autre ordre, dans la IIe *Olynthienne*, aux §§ 26, 25 et 24.

6. Ἀναλήψεσθαι a ici le sens intransitif « se remettre ».

12-18. Τὸν μὲν ἐκ Μακεδονίας ὁρμώμενον .... Cf. *Halonnèse*, § 7 : Τὸν ἐκ Πέλλης ὁρμώμενον. D'ailleurs ce morceau peut être considéré, suivant le point de vue où l'on se place, soit comme une première ébauche, soit comme une imitation abrégée, des §§ 67 et 68 du discours pour la Couronne.

19-5. Comparez avec tout ce paragraphe *Olynth.* II, 12, qui en est le modèle.

μὲν πρὸς τὸν πόλεμον, παρακαλεῖν δὲ τοὺς Ἕλληνας, μὴ λόγοις, ἀλλὰ τοῖς ἔργοις πρὸς τὴν παρ' ἡμῶν συμμαχίαν· ὡς ἅπας μέν ἐστιν λόγος μάταιος πράξεων ἄμοιρος γενόμενος, τοσούτῳ δὲ μάλισθ' ὁ παρὰ τῆς ἡμετέρας πόλεως, ὅσῳ δοκοῦμεν αὐτῷ προχειρότατα χρῆσθαι τῶν ἄλλων Ἑλλήνων.

NC. 1. τοὺς S. τοὺς ἄλλους vulg. — 2. ἀλλὰ S. ἀλλὰ καὶ vulg. — παρ' ἡμῶν. Vulgate : ὑπὲρ ἡμῶν. — Cobet écarte πρὸς... συμμαχίαν.

2. Τὴν παρ' ἡμῶν συμμαχίαν, l'alliance que nous leur offrons.

3-5. Ὡς ἅπας μέν ἐστι.... τῶν ἄλλων Ἑλλήνων. Péroraison singulière. Je trouve étrange de terminer une harangue par une considération pareille.

ΠΕΡΙ

ΣΥΝΤΑΞΕΩΣ

NOTICE.

Les Athéniens discutent ce qu'il convient de faire de certains fonds disponibles. Les uns pensent qu'il faut les distribuer au peuple, les autres s'opposent à ce dessein. Notre orateur ouvre un avis intermédiaire : il veut que les citoyens reçoivent les deniers publics à condition de servir la cité de leurs personnes, et surtout de la servir à la guerre. Il demande que ce sujet, dont il a déjà, dit-il, entretenu le peuple précédemment, soit mis à l'ordre du jour d'une autre assemblée, où il pourra développer tout un plan d'organisation[1]. En attendant, il en indique les lignes principales, les mêmes qu'on a vues dans la troisième Olynthienne, et il insiste sur la nécessité d'une réforme : depuis que les armées ne sont composées que d'étrangers mercenaires, elles pillent les alliés au lieu de combattre l'ennemi, et Athènes ne remplit plus son rôle de protectrice de la démocratie en Grèce (§ 1-11).

Le reste du discours n'est qu'une suite de considérations générales. L'orateur n'ignore pas qu'on ne suivra pas ses conseils : mais ce sera déjà un bien s'il habitue le peuple à les entendre, s'il guérit, comme il dit, les oreilles de ses auditeurs, auxquels on débite tant d'erreurs pernicieuses. On leur dit qu'il faut sauver la république par des rigueurs judiciaires ; qu'elle est mise en péril par certains actes, criminels sans doute, mais sans portée. Mais le danger réel que court la république est dans la mauvaise organisation militaire, et on ne la sauvera qu'en remportant des victoires sur les ennemis (§ 12-17). L'orateur, tout petit qu'il est, s'efforce de parler d'une manière digne de la grandeur d'Athènes. Mais il est isolé. Ceux qui briguent l'honneur d'être élus stratéges ne pensent qu'à satisfaire leur vanité ou à poursuivre des avantages particuliers. Ceux qui parlent devant le peuple s'associent avec les généraux dans des vues intéressées (§ 18-20). Le passage relatif à ces coteries se retrouve dans la seconde Olynthienne.

Suit une comparaison des temps anciens avec l'époque actuelle, comparaison tirée de la troisième Olynthienne et du discours contre Aristocrate (§ 21-31).

On rédige des décrets magnifiques, mais on ne les exécute pas. Si Athènes ne veut pas tomber au rang d'une petite cité obscure — déchéance aussi honteuse que périlleuse — elle doit mettre sa puissance,

1. Τὴν σύνταξιν, τὸ συνταχθῆναι (§§ 3, 9-11). De là le titre du discours.

son armée, d'accord avec son ambition (§ 32-35). L'essentiel, c'est que le peuple ait lui-même la volonté de bien faire (§ 36).

En supposant que ce discours ait été réellement prononcé par Démosthène, à quelle époque pourra-t-on l'assigner? Bœhnecke[1], le seul critique qui en ait défendu l'authenticité de nos jours, le place après les Olynthiennes : et cette hypothèse s'accorde très-bien avec le passage (§ 9) dans lequel l'orateur assure avoir déjà traité auparavant le même sujet. Admettons que, soit avant, soit après la chute d'Olynthe, le peuple d'Athènes, cédant à la gravité des conjonctures, ait permis de mettre à l'ordre du jour, malgré la loi qui s'y opposait, la question des fonds disponibles et du théorique. Mais comment expliquer alors que la gravité de ces conjonctures ne soit pas mise en relief par l'orateur? il ne prononce pas le nom de Philippe, il ne dit rien d'Olynthe, ni du danger dont Athènes était menacée après la chute de cette ville, de perdre ses dernières et ses plus anciennes possessions. Rien dans ce discours ne répond à une telle situation; l'orateur s'amuse, au contraire, à rappeler l'abolition, déjà ancienne alors, du régime démocratique à Rhodes et à Mitylène (§ 8), et même certains petits faits (§ 14) également anciens et qui n'avaient causé qu'une sensation toute passagère.

Le scholiaste suppose que ce discours avait précédé toutes les Philippiques. Cette hypothèse est plus plausible. Un patriote pouvait alors se préoccuper, sans concevoir encore des inquiétudes trop vives, de voir la guerre contre le roi de Macédoine si mal conduite, il pouvait insister sur les événements récents de Mitylène et de Rhodes, et sur la folie de faire grand bruit de certains délits qu'on n'avait pas encore eu le temps d'oublier.

Ajoutons que rien n'empêche d'admettre que la loi qui défendait de mettre le théorique en question ne fût pas encore rendue alors. Le discours sur les Réformes serait donc à peu près du même temps où Démosthène écrivait les plaidoiries à l'usage des accusateurs de Timarque et d'Aristocrate (an 352), et antérieur à la première Philippique et à la harangue pour la Liberté des Rhodiens (an 351).

D'après ce système, l'allusion du § 9 ne saurait se rapporter à la troisième Olynthienne; il faudrait croire, au contraire, que Démosthène répète dans ce dernier discours des propositions qu'il avait déjà faites plusieurs fois et de longues tirades qu'il avait déjà débitées à la tribune. Il faudrait croire en outre que, tantôt pour une raison, tantôt pour une autre, Démosthène, en reprenant deux fois, ou même trois fois, les mêmes propositions, fût toujours resté dans le vague, sans jamais présenter un projet détaillé et pratique des réformes qu'il demandait. Mais en attribuant le discours sur les Réformes à un rhé-

1. Bœhnecke, *Forschungen*, I, p. 170 sqq. et p. 230 sq.

teur, on comprend aisément que celui-ci n'ait pas voulu en dire plus long qu'il n'en avait lu dans la troisième Olynthienne, et qu'il ait imaginé de s'en référer d'un côté à un prétendu discours antérieur, de l'autre à des développements qu'il pourrait ajouter dans une assemblée prochaine.

Ce soupçon est confirmé par l'ensemble du discours. D'abord on croit que l'orateur poursuit un but déterminé, qu'il s'efforce de faire voter par le peuple une mesure salutaire. Mais bientôt il passe à des considérations générales, qui ne sont pas bien rattachées à ce qui précède[1], et qui nous font perdre de vue l'objet qu'il semblait se proposer dans les premiers paragraphes. Sans doute c'est aller trop loin que de soutenir que ces considérations n'ont aucun rapport avec cet objet : elles s'y rattachent sans effort, et cela est si vrai, qu'une partie de ces considérations se retrouve dans la troisième Olynthienne. Mais dans ce dernier discours elles sont ramenées à de justes proportions; ici, au contraire, la question pratique ne semble être qu'un point de départ, un prétexte pour débiter une espèce de sermon politique, et ce sermon est si bien la seule chose qui intéresse vraiment l'orateur qu'il ne prend même pas la peine de revenir dans sa péroraison à l'objet soumis aux délibérations du peuple.

On a fait valoir contre l'authenticité de ce discours d'autres arguments que, pour ma part, je ne saurais admettre. On assure que l'auteur dénature, par ignorance de l'histoire, certains faits dont il pouvait trouver chez Démosthène une mention sommaire; mais on n'a pas suffisamment établi cette assertion[2]. Un passage cependant contient évidemment une inexactitude historique; mais cette inexactitude est volontaire et du genre de celles que les orateurs d'Athènes se sont quelquefois permises[3]. On a trouvé à redire à certaines tournures, à certaines expressions : je n'en vois que très-peu qui puissent étonner un lecteur de Démosthène[4]; en général, la vivacité énergique des tours, la structure des périodes, les détails du style portent le cachet du grand orateur. Je crois donc que l'arrangeur y a mis fort peu du sien. Nous connaissons la provenance de plusieurs parties de son ouvrage; les autres, également excellentes, sont sans doute aussi des fragments démosthéniques. Il semble s'être proposé de réunir dans un cadre restreint quelques-unes des idées générales qui dirigeaient la politique de Démosthène, et comme l'esprit de ses harangues. C'est dans ce but qu'il aura imaginé une délibération qui sans doute n'eut jamais lieu; mais on ne saurait lui contester sans injustice d'avoir bien exécuté son dessein et d'avoir composé une marqueterie intéressante.

1. Voir la note sur μετεωρίσας καὶ φυσήσας ἡμᾶς, § 12.

2. Cf. les notes sur les §§ 14, 29 et 32.

3. Cf. § 23 sq., et Spengel, *Die* Δημηγορίαι, p. 109.

4. La locution la plus choquante, c'est τελεσθῆναι στρατηγός, § 19. Elle n'a d'autre analogie qu'une phrase d'un Exorde évidemment pseudo-démosthénique, que nous en avons rapprochée.

Dans l'antiquité, quelques-uns rangeaient ce discours parmi les Philippiques[1], d'autres contestaient la convenance de cette attribution[2]. Le désaccord allait-il plus loin et portait-il aussi sur l'authenticité de l'ouvrage ? Nous n'en avons aucune preuve. Harpocration[3] cite plusieurs passages de cette harangue comme étant de Démosthène. Il est vrai que Denys d'Halicarnasse, dans sa première lettre à Ammée, énumère les discours politiques de Démosthène d'après leur ordre chronologique et qu'il ne mentionne point le discours sur les Réformes. Cette omission a une certaine gravité ; cependant il n'en résulte pas positivement que Denys ait considéré ce discours comme apocryphe. Il pouvait être arrêté par la difficulté d'en déterminer la date.

F. A. Wolf[4] le premier a déclaré que ce discours était l'ouvrage d'un rhéteur, et tous les critiques, sauf Bœhnecke, ont ratifié cet arrêt en le motivant par de nombreux considérants. On peut voir dans le livre de A. Schæfer[5] les preuves accumulées par eux. Je suis loin de les admettre toutes ; j'en écarte plusieurs pour des raisons expliquées, soit dans cette Notice, soit dans le Commentaire ; je pense qu'on fait ce discours beaucoup plus mauvais qu'il n'est en effet ; cependant je ne puis me décider non plus à y voir un ouvrage de Démosthène.

1. Harpocration, aux articles Μόρων et Προπύλαια ταῦτα.

2. Cf. Scholiaste, p. 216, l. 5, Dindorf. Libanios, *Argument*.

3. Harpocration, aux articles cités ci-dessus et aux suivants : Κύθνιοι, Ὀπισθόδομος, Ὀργάς, Παρουσία. Deux phrases du § 28 sont citées dans la Rhétorique d'Aristide, t. IX, p. 362 sq. Walz.

4. F. A. Wolf, *Prolegomena in Leptin.* p. LXXIV.

5. *Appendice*, p. 89 sqq.

ΠΕΡΙ

ΣΥΝΤΑΞΕΩΣ

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Ὁ λόγος οὗτος οὐκέτι Φιλιππικός ἐστιν, ἀλλὰ ἁπλῶς συμβουλευτικός. Ἐκκλησίαν γὰρ ἀγόντων τῶν Ἀθηναίων περὶ τῶν θεωρικῶν χρημάτων, παρελθὼν ὁ Δημοσθένης πείθει συνταχθῆναί τε αὐτοὺς καὶ 166
τὸ ἀρχαῖον ἀναλαβεῖν ἀξίωμα στρατευομένους καὶ τῶν Ἑλλήνων προκινδυνεύοντας, καὶ συγκρίνει τὰ νῦν τοῖς ἐπὶ τῶν προγόνων, πολὺ φαυλότερα καὶ ταπεινότερα τῶν παλαιῶν δεικνύς.

Περὶ μὲν τοῦ παρόντος ἀργυρίου, καὶ ὧν ἕνεκα τὴν ἐκκλησίαν ποιεῖσθ', ὦ ἄνδρες Ἀθηναῖοι, οὐδέτερόν μοι δοκεῖ τῶν

NC. 1. ἕνεκα est ajouté dans S au-dessus de la ligne et en marge par des mains anciennes. — 2. ποιεῖσθε, marge de S, main du XIe siècle. ποιεῖτε S et vulg.

1-2. Περὶ μὲν τοῦ παρόντος ἀργυρίου, au sujet de l'argent présent, de l'argent sur lequel nous délibérons. Cf. § 2 : Τἀργύριον τοῦθ' ὑπὲρ οὗ βουλεύεσθε. La locution τὸ παρὸν ἀργύριον n'a peut-être pas d'analogue chez Démosthène. — Οὐδέτερόν μοι δοκεῖ.... Cf. *Mégalop.* § 1 : Ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν. Les deux exordes ont une certaine ressemblance générale. Le scholiaste l'a déjà remarqué : Καὶ γὰρ ἐν ἐκείνοις προστιθέμενος θατέρῳ μέρει προσποιεῖται μηδετέρῳ συναγορεύειν, ἀλλ' ἀεὶ τὸ μέσον ζητεῖν· τοῦτο δέ ἐστι τὸ τῆς πόλεως συμφέρον. Au fond, dit le scholiaste, l'orateur combat l'abus du théorique et la politique qui plaît aux citoyens pauvres. Dans son édition des Scholies, Dindorf a eu tort de préférer les conjectures de H. Wolf aux leçons des manuscrits. Il faut lire (p. 218, l. 15 sqq.) : Τὰς γνώμας τὰς τῶν εὐπόρων (non ἀπόρων) ἀποδεξάμενος.... τοῦ μὲν χαρίζεσθαι τοῖς δυναμένοις (non διανεμομένοις).... καὶ ταὐτὰ (manuscrits : ταῦτα) λέγων τοῖς εὐπόροις (non ἀπόροις) οὐ ταὐτὰ λέγειν δοκεῖ.

χαλεπῶν εἶναι, οὔτ' ἐπιτιμήσαντα τοῖς νέμουσι καὶ διδοῦσι τὰ κοινὰ εὐδοκιμῆσαι παρὰ τοῖς βλάπτεσθαι διὰ τούτων ἡγουμένοις τὴν πόλιν, οὔτε συνειπόντα καὶ παραινέσαντα ὡς δεῖ λαμβάνειν χαρίσασθαι τοῖς σφόδρ' ἐν χρείᾳ τοῦ λαβεῖν οὖσιν· οὐδέτεροι γὰρ πρὸς τὸ τῇ πόλει συμφέρον σκοποῦντες οὔτ' ἐπαινοῦσιν οὔτε δυσχεραίνουσι τὸ πρᾶγμα, ἀλλ' ὡς ἑκάτεροι χρείας καὶ περιουσίας ἔχουσιν. [2] Ἐγὼ δὲ τοῦτο μὲν οὔτ' ἂν εἰσηγησαίμην, οὔτ' ἂν ἀντείποιμ' ὡς οὐ δεῖ λαμβάνειν· παραινῶ μέντοι σκοπεῖν καὶ λογίζεσθαι πρὸς ὑμᾶς αὐτοὺς ὅτι τἀργύριον μέν ἐστι τοῦθ', ὑπὲρ οὗ βουλεύεσθε, μικρόν, τὸ δ' ἔθος μέγα, ὃ γίγνεται μετὰ τούτου. Εἰ μὲν οὖν μετὰ τοῦ πράττειν ἃ προσήκει καὶ τὸ λαμβάνειν κατασκευάσεσθε, οὐ μόνον οὐδὲν βλάψετε, ἀλλὰ καὶ τὰ μέγιστ' ὠφελήσετε τὴν πόλιν καὶ ὑμᾶς αὐτούς· εἰ
167 δὲ τοῦ μὲν λαμβάνειν καὶ ἑορτὴ καὶ πᾶσ' ἀρκέσει πρόφασις, τοῦ δ' ἃ πρὸς τούτοις δεῖ ποιεῖν μηδὲ τοὺς λόγους ἀκούειν ἐθελή-

NC. τοῖς διανέμουσι τὰ κ. Cobet. — 3. [καὶ... λαμβάνειν] Cobet. — 5. [πρὸς] Cobet. — 7. περιουσίας (le premier iota ajouté dans S, mais par la première main). Harpocration : Παρουσία ἀντὶ τοῦ περιουσία ἢ αἰτία πλούτου οὐσία. Δημοσθένης ἐν τῷ περὶ συντάξεως.— μὲν οὔτ'. S seul : μὲν οὐδ'. — 8. ἂν ἀντείποιμι S. ἀντείποιμι vulg. — [ὡς... λαμβάνειν] Cobet. — μέντοι. Dans S, τοι est ajouté par une main ancienne. — 10. ὑπὲρ S seul. περὶ vulg. — βουλεύσεσθε S[1]. — 12. οὐδὲν A. οὐ S, vulg.

1-2. Τοῖς νέμουσι καὶ διδοῦσι τὰ κοινά, à ceux qui veulent distribuer et donner (aux particuliers) les deniers publics. Par une espèce de vivacité hyperbolique, les verbes expriment souvent, non l'action, mais l'intention ou la tentative d'agir. Cf. les notes sur δοίη et πείθουσι, *Symm.* § 26 et § 41.

6-7. Χρείας καὶ περιουσίας. Ces génitifs dépendent de ὡς. Cp. οἷ προελήλυθεν ἀσελγείας (*Phil.* I, 9) et une foule de locutions analogues. — La conjonction καί équivaut ici à ἤ. Les deux particules peuvent quelquefois être indifféremment employées l'une pour l'autre. On rapproche Thucydide, II, 35 : Μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι εὖ τε καὶ χεῖρον εἰπόντι.

7. Τοῦτο, c'est-à-dire τὸ λαμβάνειν τὸ ἀργύριον. C'est là ce que l'orateur ne veut ni proposer ni combattre. Le verbe ἀντειπεῖν, dont il s'est servi dans le second membre de phrase, avait besoin d'un complément plus développé : aussi a-t-il ajouté ὡς οὐ δεῖ λαμβάνειν.

11. Μετὰ τούτου équivaut à μετὰ τοῦ ἀργυρίου τούτου, c'est-à-dire, μετὰ τοῦ λαμβάνειν τὸ ἀργύριον τοῦτο. Quant à la pensée, Dobree rapproche *Contre Androtion*, § 51 : Οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, τοσούτων χρημάτων τοῦτον τὸν τρόπον εἰσπραχθέντων ὠφέλησθε, ὅσον ἐζημίωσθε τοιούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων.

11-15. Εἰ μὲν οὖν μετὰ τοῦ πράττειν ἃ προσήκει καὶ τὸ λαμβάνειν κατασκευάσεσθε. Cf. *Olynth.* I, § 20 : Μίαν σύνταξιν εἶναι τὴν αὐτὴν τοῦ τε λαμβάνειν καὶ τοῦ ποιεῖν τὰ δέοντα. — Τοῦ μὲν λαμβάνειν. Ce génitif dépend régulièrement de πρόφασις, et irrégulièrement aussi de ἑορτή, les fêtes étant considérées ici comme des prétextes aux distributions d'argent. — Πρὸς τούτοις. Le pluriel du démonstratif se rapporte au singulier τοῦ λαμβάνειν. Cf. ὑπὲρ τούτων, *Olynth.* II, 3. — Μηδὲ τοὺς λόγους ἀκούειν ἐθελήσετε. Cf. *Phil.* IV, 28.

σετε, ὁρᾶτε μή ποθ', ἃ νῦν ὀρθῶς ἡγεῖσθε πράττειν, σφόδρα ἡμαρτηκέναι νομίσητε. [3] Ἐγὼ δέ φημι δεῖν (καί μοι μὴ θορυβήσητ' ἐφ' ᾧ μέλλω λέγειν, ἀλλ' ἀκούσαντες κρίνατε), ὡς περὶ τοῦ λαβεῖν ἐκκλησίαν ἀπεδώκαμεν, οὕτω καὶ περὶ τοῦ συνταχθῆναι καὶ παρασκευασθῆναι τὰ πρὸς τὸν πόλεμον ἐκκλησίαν ἀποδοῦναι, καὶ παρασχεῖν ἕκαστον αὑτὸν μὴ μόνον ταῦτ' ἀκούειν ἐθέλοντα, ἀλλὰ καὶ πράττειν βουλόμενον, ἵν', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀγαθῶν τὰς ἐλπίδας δι' ὑμῶν αὐτῶν ἔχητε, καὶ μὴ τὸν δεῖνα μηδὲ τὸν δεῖνα πυνθάνησθε τί πράττει. [4] Καὶ τὰ μὲν προσιόντα τῇ πόλει πάντα, καὶ ἃ νῦν ἐκ τῶν ἰδίων παραναλίσκετ' εἰς οὐδὲν δέον καὶ ὅσ' ἐκ τῶν συμμάχων ὑπάρχει, λαμβάνειν ὑμᾶς φημὶ χρῆναι τὸ ἴσον ἕκαστον, τοὺς μὲν ἐν ἡλικίᾳ στρατιωτικόν, τοὺς δ' ὑπὲρ τὸν κατάλογον ἐξεταστικὸν ἢ ὅπως ἄν τις ὀνομάσαι τοῦτο, στρατεύεσθαι δ' αὐτοὺς καὶ μηδενὶ τούτου παραχωρεῖν, [5] ἀλλὰ τὴν δύναμιν τῆς πόλεως οἰκείαν εἶναι, κατεσκευασμένην ἀπὸ τούτων, ἵν' ἅμ' εὐ-

NC. 4. ὡς περὶ τοῦ G. H. Schæfer. ὥσπερ περὶ τοῦ Dindorf. ὥσπερ τοῦ S. ὥσπερ τῷ vulg. — 10. προσιόντα vulg., et ancienne marge de S. προσόντα S. — 11. παραναλίσκετε S, A. προσαναλίσκετε. vulg. — 15. μηδενὶ. S, de première main, μηδεν. — 61. κατασκευασμένην S. καὶ κατεσκευασμένην vulg. — ἅμα, omis après ἵνα, ancienne marge de S. ἅμα τε marge de F.

5-7. Συνταχθῆναι καὶ παρασκευασθῆναι. Ces infinitifs ont pour sujet sous-entendu ἡμᾶς. Les mots τὰ πρὸς τὸν πόλεμον forment un accusatif adverbial. Cf. § 10 : Πόλιν.... συντετάχθαι καὶ παρεσκευάσθαι; § 11 : Τὸ δὲ συνταχθῆναι καὶ παρασκευασθῆναι. — Μὴ μόνον ταῦτ' ἀκούειν ἐθέλοντα. Ces mots se réfèrent à μηδὲ τοὺς λόγους ἀκούειν ἐθελήσετε, § 2.

7-9. Ἵν(α)... τῶν ἀγαθῶν τὰς ἐλπίδας.... Cf. *Phil.* I, 7, et *Olynth.* III, 30 : Ὁ δῆμος.... ἦν.... κύριος αὐτὸς ἁπάντων. — Καὶ μὴ τὸν δεῖνα. Cf. *ib.* 35 : Ὅτι δὲ οἱ τοῦ δεῖνος νικῶσι ξένοι, ταῦτα πυνθάνεσθαι.

10-15. Ἐκ τῶν ἰδίων. Ici τὰ ἴδια ne désigne pas les fortunes des particuliers, mais les revenus propres d'Athènes, opposés aux contributions fournies par les alliés. L'ensemble des revenus de la ville, τὰ προσιόντα τῇ πόλει πάντα, est subdivisé au moyen des deux phrases καὶ ἃ.... καὶ ὅσ(α), « tant que..., tant que. » Cf. *Ambassade*, § 307 : Τῶν κελευόντων μετὰ τῶν Ἑλλήνων περὶ τῆς πρὸς Φίλιππον εἰρήνης βουλεύεσθαι θαυμάζειν, εἰ περὶ τῶν ὑμετέρων ἰδίων ἄλλον τινὰ δεῖ πεισθῆναι. — Παραναλίσκετε, vous dépensez en pure perte. Cf. *Exorde* 21, 3 : Παραναλώσετε μὲν πάνθ' ὅσ' ἂν δαπανήσητε. — Τοὺς δ' ὑπὲρ τὸν κατάλογον, ceux qui ont dépassé l'âge de l'inscription dans les listes militaires. Cf. *Olynth.* III, 34 : Ἔστι τις ἔξω τῆς ἡλικίας ὑμῶν. — Ἐξεταστικόν, (ils recevront leur part comme) rétribution de surveillant. Cf. *ib.* : Πάντ' ἐφορῶν καὶ διοικῶν ἃ χρὴ πράττεσθαι. Ces mots servent de commentaire authentique à notre passage; il ne faut pas penser exclusivement aux contrôleurs (ἐξετασταί) chargés de vérifier l'effectif des troupes mercenaires, magistrats dont il est question dans Eschine, *Contre Timarque*, § 113.

16-1. Ἀπὸ τούτων, au moyen des revenus énumérés plus haut. — Ἵν' ἅμ' εὐπο-

πορῆτε καὶ τὰ δέοντα ποιῆτε, καὶ τὸν στρατηγὸν ἡγεῖσθαι ταύτης, ἵν' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τοιαῦθ' οἷάπερ νυνὶ συμβαίνῃ· τοὺς στρατηγοὺς κρίνετε, καὶ περίεσθ' ὑμῖν ἐκ τῶν πραγμάτων « ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖνα εἰσήγγειλεν », ἄλλο δ' οὐδέν· [6] ἀλλὰ τί ὑμῖν γένηται; πρῶτον μὲν οἱ σύμμαχοι μὴ φρουραῖς, ἀλλὰ τῷ ταὐτὰ συμφέρειν ὑμῖν κἀκείνοις ὦσιν οἰκεῖοι, ἔπειθ' οἱ στρατηγοὶ μὴ ξένους ἔχοντες τοὺς μὲν συμμάχους
168 ἄγωσι καὶ φέρωσι, τοὺς δὲ πολεμίους μηδ' ὁρῶσιν, ἀφ' ὧν αἱ μὲν ὠφέλειαι τούτων εἰσὶν ἴδιαι, τὰ δὲ μίση καὶ τὰ ἐγκλήματ' ἐφ' ὅλην ἔρχεται τὴν πόλιν, ἀλλὰ, πολίτας τοὺς ἀκολουθοῦντας ἔχοντες, τοὺς ἐχθροὺς, ἃ νῦν τοὺς φίλους, ποιῶσιν. [7] Χωρὶς δὲ τούτων πολλὰ τῶν πραγμάτων τὴν ὑμετέραν ποθεῖ παρουσίαν, καὶ ἄνευ τοῦ πρὸς τοὺς οἰκείους πολέμους οἰκείᾳ χρῆσθαι δυνάμει συμφέρειν, καὶ πρὸς τἄλλα πράγματ' ἀναγκαῖόν ἐστιν.

NC. 2-3. τοιαῦτα οἷάπερ νυνὶ συμβαίνῃ. Vulg. : ταῦτα ἅπερ νυνὶ συμβαίνει. — 3. κρίνετε. Vulg. : κρίνητε. — περίεσθ' S seul. περίεστιν vulg. — 6. ὑμῖν S. ὑμῖν τε ou ἡμῖν τε vulg. — 11. τοὺς φίλους S. τοὺς συμμάχους καὶ φίλους vulg. — 13. καὶ ἄνευ. Var. : ἄνευ γὰρ et καὶ ἄνευ γὰρ. — [οἰκείους] Cobet. — πολέμους H. Wolf. πολέμου mss. — οἰκείᾳ χρῆσθαι. Dans S ces mots sont ajoutés par une main ancienne. Bekker met οἰκείᾳ χρῆσθαι δυνάμει entre crochets. — 14. συμφέρειν. Le ν est ajouté par correction dans S.

ρῆτε καὶ τὰ δέοντα ποιῆτε, afin que vous ayez de quoi vivre à l'aise et que tout à la fois vous fassiez votre devoir. C'est le contraire de ἀργεῖν καὶ σχολάζειν καὶ ἀπορεῖν, *Olynth.* III, 35. — Τὸν στρατηγὸν ἡγεῖσθαι ταύτης. Protestation contre l'abus signalé dans la première Philippique, § 26.

3-4. Τοὺς στρατηγοὺς κρίνετε. Cf. *Phil.* I, 47. — Ὁ δεῖνα.... εἰσήγγειλεν, un tel, fils d'un tel, a accusé un tel. Ou bien le génitif τοῦ δεῖνος veut-il dire ici « pour tel délit »? La plainte appelée εἰσαγγελία se rapportait à des crimes graves et extraordinaires.

5-10. Τί ὑμῖν γένηται; Il faut sous-entendre avant ces mots la conjonction ἵνα, en les rattachant à la phrase ἵν' ὑμῖν.... μὴ τοιαῦτα.... συμβαίνῃ. La même conjonction gouverne aussi les subjonctifs des phrases suivantes ὦσιν, ἄγωσι, etc. Ces subjonctifs ne me semblent pas aussi extraordinaires qu'ils paraissent à Spengel. — Τοὺς μὲν συμμάχους.... φέρωσι. Cf. *Phil.* I, 24. — Αἱ μὲν ὠφέλειαι.... ἔρχεται τὴν πόλιν. Lucchesini cite à propos *Sur la couronne des triérarques*, § 13 : Ἐπειδὰν γάρ τις μισθωσάμενος τριηραρχίαν ἐκπλεύσῃ, πάντας ἀνθρώπους ἄγει καὶ φέρει, καὶ τὰς μὲν ὠφελείας ἰδίᾳ καρποῦται, τὰς δὲ δίκας τούτων ὁ τυχὼν δίδωσιν ὑμῶν, καὶ μόνοις ὑμῖν οὐδαμόσ' ἔστιν ἄνευ κηρυκείου βαδίσαι διὰ τὰς ὑπὸ τούτων ἀνδροληψίας καὶ σύλας κατεσκευασμένας.

13-14. Ἄνευ τοῦ πρὸς τοὺς οἰκείους πολέμους.... ἀναγκαῖόν ἐστιν, outre qu'il importe de vous servir pour vos propres guerres de vos propres forces (c'est-à-dire, de soldats citoyens), cela est encore indispensable pour les autres affaires, c'est-à-dire pour les intérêts helléniques que vous devriez défendre et que vous négligez. Voir les exemples allégués dans le paragraphe suivant. C'est par opposition aux affaires communes de la Grèce que l'orateur dit οἰκείους πολέμους. Cf. ἰδίους πολέμους,

Εἰ μὲν γὰρ ἡσυχίαν ἔχειν ὑμῖν ἀπέχρη καὶ μηδὲν τῶν Ἑλληνικῶν περιεργάζεσθαι ὅπως ἔχει, ἄλλος ἂν ἦν ὁ λόγος· [8] νῦν δὲ πρωτεύειν μὲν ὑμεῖς ἀξιοῦτε καὶ τὰ δίκαι' ὁρίζειν τοῖς ἄλλοις, τὴν δὲ ταῦτ' ἐφορεύσουσαν καὶ φυλάξουσαν δύναμιν οὔτε κατεσκεύασθε οὔτε κατασκευάζεσθε, ἀλλ' ἐπὶ πολλῆς μὲν ἡσυχίας καὶ ἐρημίας ὑμῶν ὁ Μυτιληναίων δῆμος καταλέλυται, ἐπὶ πολλῆς δ' ἡσυχίας ὁ Ῥοδίων—ἐχθρός γ' ὢν ἡμῖν, φαίη τις ἄν· ἀλλὰ μείζω χρὴ νομίζειν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πρὸς τὰς ὀλιγαρχίας ὑπὲρ αὐτῆς τῆς προαιρέσεως ἔχθραν ἢ τὴν πρὸς τοὺς δήμους ὑπὲρ ὧν ποτ' ἂν ᾖ. [9] Ἀλλ' ἵν' ἐκεῖσ' ἐπανέλθω, φημὶ δεῖν ὑμᾶς συντετάχθαι, καὶ τὴν αὐτὴν τοῦ τε λαβεῖν καὶ τοῦ ποιεῖν ἃ προσήκει σύνταξιν εἶναι. Διελέχθην δ' ὑμῖν περὶ

NC. 1. ἡμῖν S seul. — 2. [ὅπως ἔχει] Cobet. — ἦν λόγος ou ἦν λόγος οὗτος vulg. Cf. *Phil.* III, 16. — 3. μὲν ὑμεῖς S. μὲν vulg. — 4. ἐφορεύσουσαν est notre correction. ἐφεδεύουσαν (et par correction ἐφεδρεύουσαν) S. Variantes : ἐφεδρεύσουσαν, ἐφοδεύουσαν, ἐφοδεύσουσαν, ἐποπτεύουσαν, ἐποπτεύσουσαν. La vulgate ἐποπτεύουσαν (notée aussi en marge de S par une main ancienne) est, suivant nous, la glose, les autres leçons sont des altérations, de ἐφορεύουσαν ou ἐφορεύσουσαν. Les grammairiens expliquent ἐφορεύειν par ἐποπτεύειν. Cobet ἐφοδεύσουσαν (faire la ronde). — 5. παρασκευάζεσθε vulg. — 6. La variante ἠρεμίας est avec raison rejetée par Cobet. — 7. [ἡσυχίας] Cobet.

Symm. 5. Quant à ἄνευ, « indépendamment de, » cf. *Couronne*, 89 : Ὁ γὰρ τότ' ἐνστὰς πόλεμος, ἄνευ τοῦ καλὴν δόξαν ἐνεγκεῖν...

2. Περιεργάζεσθαι équivaut à πολυπραγμονεῖν, mais ne se prend pas ici en mauvaise part, comme dans *Phil.* IV, 72.

4. Ταῦτ' ἐφορεύσουσαν, chargée d'y avoir l'œil, d'y veiller. Cf. Eschyle, *passim*, et Lucien, *Charidème*, § 10 : Τῶν δὲ γάμων (παραχωρεῖ) Ἥρα Ἀφροδίτῃ, οὐδ' αὐτὴ πρὸς αὐτῆς ἐνοχλουμένη περὶ ὧν ἐφορεύει. Voir aussi *Cherson.* § 46 : Ἵν' ὥσπερ ἐκεῖνος.... οὕτω τὴν σώσουσαν ὑμεῖς καὶ βοηθήσουσαν ἅπασιν (δύναμιν) ἕτοιμον ἔχητε.

5-10. Ἐπὶ... ἐρημίας ὑμῶν, en toute sécurité et en votre absence. Cf. *Phil.* I, 49. — Ὁ Μυτιληναίων δῆμος καταλέλυται. Cf. *Rhodiens*, 19. — Ὁ Ῥοδίων. Cf. *ib.* 14. — Ἀλλὰ μείζω χρὴ.... ὑπὲρ ὧν ποτ' ἂν ᾖ. Cette pensée est développée dans le discours pour les *Rhodiens*, § 17 sq. Le scholiaste dit que Démosthène prépare ici le peuple à écouter les conseils qu'il va lui donner dans cette autre harangue : Σκοπὸς δὲ αὐτῷ καὶ τοὺς Ῥοδίους ἐλευθερῶσαι· ὅθεν προαναφωνεῖ καὶ προδιοικεῖται τὸν λόγον. — Ὑπὲρ αὐτῆς τῆς προαιρέσεως, à cause des principes politiques mêmes.

10-3. Ἵν' ἐκεῖσ' ἐπανέλθω. Cf. *Couronne*, § 163 : Ἀλλ' ἐκεῖσ' ἐπάνειμι. — Τὴν αὐτὴν.... σύνταξιν εἶναι. Ce sont, à peu de chose près, les termes dont Démosthène se sert dans la première Olynthienne, § 20, et dans la troisième, § 35. Aussi les mots διελέχθην.... καὶ πρότερον pourraient-ils faire allusion à ce dernier discours. Il est vrai qu'on n'y trouve pas les détails que semble indiquer le verbe διεξῆλθον. L'orateur n'y distingue même pas, comme ici, les hoplites et les cavaliers ; cependant il y traite bien ce sujet. H. Wolf, Reiske et d'autres ont pensé à la première Philippique, où Démosthène donne bien quelques détails sur l'organisation d'une petite armée à créer, mais où il ne dit pas un mot du plan de donner aux citoyens des secours en échange de services utiles. Or tout est là. L'auteur de cette ha-

τούτων καὶ πρότερον, καὶ διεξῆλθον ὡς ἂν συνταχθείητε, οἵ θ' ὁπλῖται καὶ οἱ ἱππεῖς καὶ ὅσοι τούτων ἐκτός ἐστε, καὶ εὐπορία τις ἂν ἅπασι γένοιτο κοινή. [10] Ὁ δέ μοι πλείστην ἀθυμίαν παρέσχεν ἁπάντων, ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι· ὅτι πολλῶν καὶ μεγάλων καὶ καλῶν ὄντων τούτων ἁπάντων τῶν μὲν
169 ἄλλων οὐδενὸς οὐδεὶς μέμνηται, τοῖν δυοῖν δ' ὀβολοῖν ἅπαντες. Καίτοι τοὺς μὲν οὐκ ἔστι πλείονος ἢ δυοῖν ὀβολοῖν ἀξίους εἶναι, τὰ δ' ἄλλ' ἃ μετὰ τούτων εἶπον τῶν βασιλέως ἄξι' ἐστὶ χρημάτων, πόλιν τοσούτους ὁπλίτας ἔχουσαν καὶ τριήρεις καὶ ἵππους καὶ χρημάτων πρόσοδον συντετάχθαι καὶ παρεσκευάσθαι.

[11] Τί οὖν ταῦτα νῦν [φαίη τις ἂν] λέγω; Ὅτι φημὶ δεῖν ὑμᾶς, ἐπειδὴ τὸ μὲν πάντας μισθοφορεῖν δυσχεραίνουσί τινες,

NC. 4. παρέσχεν ἁπάντων S. ἁπάντων παρέσχηκεν vulg. — 5. μεγάλων καὶ καλῶν S. καλῶν καὶ μεγάλων vulg. — 5-6. ἁπάντων τῶν μὲν ἄλλων. J'aimerais mieux : ἁπάντων μὲν τῶν ἄλλων. Rattaché à πολλῶν... τούτων, le mot ἁπάντων est louche. Il se peut aussi que ce mot, qui revient plusieurs fois dans cette période, ait été répété par erreur : le scholiaste ne le rend pas dans sa paraphrase. — 8. τὰ δὲ ἄλλα ἃ μετὰ τούτων εἶπον vulg. τἄλλὰ (*sic*) δὲ μετὰ τούτων ὧν εἶπον S, et les éditions récentes. Comme cette dernière leçon est peu satisfaisante, soit pour le sens (« les autres points qui accompagnaient ces deux oboles *que je viens de rappeler* »), soit pour la construction (μετὰ τούτων serait pour τὰ μετὰ τούτων), je suis revenu à la vulgate. — — 9-10. ἵππους S et plusieurs manuscrits importants. ἱππέας vulgate, marquée comme variante par une main ancienne dans S, et adoptée par tous les éditeurs. — παρασκευάσθαι S. — 11. ταῦτα νῦν φαίη τις ἂν S. φαίη τις ἄν, ταῦτα νῦν vulg. Les mots écartés par Cobet devraient être suivis de λέγεις. — 12. ἅπαντας vulg.

rangue, quel qu'il fût, avait trop d'intelligence pour commettre une si lourde bévue. Rien dans la première Philippique ne répond aux mots ὅσοι τούτων ἐκτός ἐστε (« tous ceux d'entre vous qui ont dépassé l'âge de ces services »); mais ces mots se rapportent exactement à ἔστι τις ἔξω τῆς ἡλικίας ὑμῶν, *Olynth.* III, 34. Toutefois, en admettant l'authenticité de notre harangue, on est obligé de la placer à une époque antérieure aux *Olynthiennes* (cf. la *Notice*), et de voir ici une allusion à quelque discours que Démosthène n'a pas mis par écrit.

5-6. Τούτων équivaut à ὧν συμβουλεύω (paraphrase du scholiaste), ou plus exactement, à τούτων ἃ συνεβούλευον, ἃ εἶπον. — Ἁπάντων. Voir NC. — Τοῖν δυοῖν δ' ὀβολοῖν. Le droit d'entrée au théâtre était de deux oboles. Depuis longtemps le théorique avait dégénéré en distribution d'argent pour toute espèce de fêtes. Cependant Bœckh (*Staatshaushaltung*, I, p. 310 sqq.) admet que l'on conservait toujours le montant primitif de deux oboles, sauf à payer plusieurs *diobélies*, soit pour les fêtes de plusieurs jours, soit même pour un seul jour.

7-10. Καίτοι τοὺς μὲν οὐκ ἔστι.... παρεσκευάσθαι. Voici ce que dit l'orateur : « Les deux oboles (le seul point que vous ayez retenu de mon discours) ne vaudront jamais que deux oboles; mais les autres points que j'y ajoutais, que je n'en séparais pas (et dont personne ne veut se souvenir), sont aussi précieux que tout l'or du Grand-Roi. » Ces autres points (τὰ ἄλλ' ἃ μετὰ τούτων εἶπον) sont rappelés dans les mots : πόλιν τοσούτους.... καὶ παρεσκευάσθαι. [Reiske.]

12. Μισθοφορεῖν. Cf. *Olynth.* III, 33.

τὸ δὲ συνταχθῆναι καὶ παρασκευασθῆναι παρὰ πάντων χρήσιμον εἶναι δοκιμάζεται, ἐντεῦθεν ἄρξασθαι τοῦ πράγματος, καὶ προθεῖναι περὶ τούτων τῷ βουλομένῳ γνώμην ἀποφήνασθαι. Ὡς οὕτως ἔχει· ἂν μὲν ὑμεῖς νῦν πεισθῆτε τούτων καιρὸν εἶναι, ὅταν αὐτῶν εἰς χρείαν ἔλθητε, ἕτοιμ' ὑπάρξει· ἂν δ' ἀκαιρίαν ἡγησάμενοι παρίδητε, ὅταν δέῃ χρῆσθαι, τότ' ἀναγκασθήσεσθε παρασκευάζεσθαι.

[12] Ἤδη δέ τις εἶπεν ὦ ἄνδρες Ἀθηναῖοί που λέγων, οὐχ ὑμῶν τῶν πολλῶν, ἀλλὰ τῶν διαρρηγνυμένων εἰ ταῦτα γενήσεται· « Τί δ' ἡμῖν ἀπὸ τῶν Δημοσθένους λόγων ἀγαθὸν γέ« γονεν; Παρελθὼν ἡμῶν, ὁπόταν αὐτῷ δόξῃ, ἐνέπλησε τὰ « ὦτα λόγων, καὶ διέσυρε τὰ παρόντα, καὶ τοὺς προγόνους « ἐπήνεσεν, καὶ μετεωρίσας καὶ φυσήσας ἡμᾶς κατέβη. » [13] Ἐγὼ δ' εἰ μὲν ὑμᾶς δυναίμην ὧν λέγω τι πεῖσαι, τηλικαῦτ' ἂν οἶμαι τὴν πόλιν πρᾶξαι ἀγαθά, ὥστ', εἰ νῦν εἰπεῖν ἐπιχειρήσαιμι, πολλοὺς ἂν ἀπιστῆσαι ὡς μείζοσιν ἢ δυνατοῖς· οὐ μὴν οὐδὲ τοῦτο μικρὸν ὠφελεῖν οἶμαι, εἰ τὰ βέλτιστ' ἀκούειν ὑμᾶς συνεθίζω. Δεῖ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν βουλόμενόν τι ποιῆ- **170**
σαι τὴν πόλιν ἡμῶν ἀγαθὸν τὰ ὦτα πρῶτον ὑμῶν ἰάσασθαι·

NC. 2. δοκιμάζεται vulg. δοκιμάζετε S, et Vœmel. — 4. εἶναι S, A. εἶναι νομίσαντες vulg. — 5. αὐτῶν εἰς χρείαν S. εἰς χρείαν αὐτῶν vulg. — 11. παρελθὼν ἡμῶν. Vulgate : ὃς παρελθὼν ὑμῶν. — οποταν S. ὅταν vulg. — 13. ἐπήνεσεν S. ἐπαινέσας vulg. — ἡμᾶς. Vulgate : ὑμᾶς. — 14. τι, avant πεῖσαι, est ajouté après coup dans S, mais de première main. — 15. νῦν εἰπεῖν S, A. λέγειν νῦν (ou νῦν λέγειν) vulg. — 19. τὴν πόλιν ὑμῶν vulg.

3. Προθεῖναι, mettre à l'ordre du jour d'une autre assemblée populaire, de celle que l'orateur a demandée au § 3. Cf. la note sur προυτίθετο, *Phil.* I, 1.

4-7. Ἂν μὲν ὑμεῖς.... τότ' ἀναγκασθήσεσθε παρασκευάζεσθαι. Cf. *Phil.* IV, 29 et 30. [Dobree.]

8. Ἤδη δέ τις εἶπεν. Cf. *Cherson.* § 73 : Ἤδη τοίνυν τινὸς ἤκουσα, où la même objection est réfutée d'une autre manière. La locution εἶπε λέγων s'y retrouve aussi, au § 74.

13. Μετεωρίσας καὶ φυσήσας ἡμᾶς, nous ayant soulevés de terre (mis dans des transports d'aise) et enflés d'orgueil. Cf. Aristophane, *Oiseaux*, 1447 : Ὑπὸ γὰρ λόγων ὁ νοῦς τε μετεωρίζεται ἐπαίρεταί τ' ἄνθρωπος. Platon, *Ménexène*, p. 235 A, dit plaisamment, en décrivant l'effet produit par cet éloge des ancêtres : Ἑκάστοτε ἕστηκα ἀκροώμενος καὶ κηλούμενος, ἡγούμενος ἐν τῷ παραχρῆμα μείζων καὶ γενναιότερος καὶ καλλίων γεγονέναι. — Pourquoi l'orateur relève-t-il ici cette critique qu'on fait de ses discours ? Je n'en vois pas l'à-propos. Il fera l'éloge des ancêtres dans ce qui suit ; mais il n'en a encore rien dit dans ce qui précède.

16. Μείζοσιν ἢ δυνατοῖς équivaut à μείζοσι τῶν δυνατῶν. « Notabilis structura. » [G. H. Schæfer.]

19. Τὰ ὦτα πρῶτον ὑμῶν ἰάσασθαι. Expression heureuse et digne de Démosthène.

διέφθαρται γάρ· οὕτω πολλὰ καὶ ψευδῆ καὶ πάντα μᾶλλον ἢ τὰ βέλτιστ' ἀκούειν συνείθισθε. [14] Οἷον (ὅπως δὲ μὴ θορυβήσει μοι μηδείς, πρὶν ἂν ἅπαντ' εἴπω) ἀνέῳξαν δήπου πρῴην τινὲς τὸν ὀπισθόδομον. Οὐκοῦν οἱ παριόντες ἅπαντες τὸν δῆμον καταλελύσθαι, τοὺς νόμους οὐκέτ' εἶναι, τοιαῦτ' ἔλεγον. Καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, (καὶ σκοπεῖτ' ἂν ἀληθῆ λέγω) οἱ μὲν ταῦτα ποιοῦντες ἄξι' ἐποίουν θανάτου, ὁ δῆμος δ' οὐ διὰ τούτων καταλύεται. Πάλιν κώπας τις ὑφείλετο· « Μαστιγοῦν, στρεβλοῦν » πάντες οἱ λέγοντες, « τὸν δῆμον καταλύεσθαι ». Ἐγὼ δὲ τί φημί; Τὸν μὲν ὑφαιρούμενον θανάτου ποιεῖν ἄξια, ὥσπερ ἐκεῖνοι, τὸν δῆμον δ' οὐ διὰ τούτων καταλύεσθαι. [15] Ἀλλὰ πῶς καταλύεται, οὐδεὶς λέγει οὐδὲ παρρησιάζεται. Ἐγὼ δὲ φράσω. Ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, φαύλως ἡγμένοι <οἱ> πολλοὶ καὶ ἄποροι καὶ ἄοπλοι καὶ ἀσύντακτοι

NC. 2-3. δὲ manquait d'abord dans S. — θορυβήσει S seul. θορυβήσῃ vulg. — πρὶν ἂν S. πρὶν vulg. — 3-4. δήπου πρῴην τινὲς S, ainsi qu'Harpocration, art. ὀπισθόδομος. Vulg.: τινες πρῴην δήπου. — 5. οὐκέτ' εἶναι. S : ουκ εἶναι. — 6. καὶ σκοπεῖτε. Vulgate : σκοπεῖτε. — 9. πάντες οἱ λέγοντες S seul. πάντες ἐβόων λέγοντες (ou οἱ λέγοντες) vulg. — καταλύεσθαι τὸν δῆμον vulg. — 14. οἱ, avant πολλοὶ, est un supplément de Dobree. Je soupçonne toutefois que πολλοὶ est une leçon vicieuse provenant de ἄπονοι ou de quelque autre adjectif synonyme de ἀργοί. Il vaudrait mieux en effet que les mots φαύλως ἡγμένοι ne fissent point partie de l'attribut.

2. Blass, *Att. Bereds.* III, II, p. 122, se range aussi à cet avis.



ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ

ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Ἀλεξάνδρου τοῦ Μακεδόνος καταγαγόντος εἰς Μεσσήνην τοὺς Φιλιάδου τοῦ τυράννου παῖδας, αἰτιᾶται παρὰ τὰς συνθήκας εἶναι τοῦτο τὰς Ἀθηναίοις καὶ Ἕλλησι γενομένας· παραβεβηκέναι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τὰς συνθήκας φησὶ τοὺς Μακεδόνας, καὶ μὴ περιορᾶν ταῦτα παραινεῖ. Ὁ δὲ λόγος ψευδεπίγραφος εἶναι δοκεῖ· οὐ γὰρ ἔοικε κατὰ τὴν ἰδέαν τοῖς ἄλλοις τοῖς τοῦ Δημοσθένους, ἀλλὰ τῷ Ὑπερείδου χαρακτῆρι μᾶλλον προσχωρεῖ, τά τε ἄλλα καὶ λέξεις τινὰς ἔχει κατ' ἐκεῖνον μᾶλλον εἰρημένας ἢ τὸν Δημοσθένη, οἷον νεόπλουτοι καὶ βδελυρεύσεται.

Ἄξιον ἀποδέχεσθαι, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν, εἴπερ αὐτὸ πεπεισμένοι ποιοῦσιν· οἶμαι γὰρ οὐδὲν οὕτω τοῖς δημοκρατουμένοις πρέπειν ὡς περὶ τὸ ἴσον καὶ τὸ δίκαιον σπουδάζειν. Δεῖ
τοίνυν τοὺς λίαν ἐπ' αὐτὰ παρακαλοῦντας μὴ τῷ μὲν λόγῳ 212
καταχρωμένους ἐνοχλεῖν, πάντα δὲ μᾶλλον πράττειν, ἀλλ' 6

NC. 4. ὡς περὶ. S : ὥσπερ. — 5. ἐπ' αὐτὰ S. ἐπ' αὐτὸ vulg. Cf. p. 468, l. 2 : περὶ αὐτῶν.

3. Πεπεισμένοι, de bonne foi, et non pas en abusant de la parole (τῷ λόγῳ καταχρωμένοι) pour dénaturer les faits.

6. Πάντα δὲ μᾶλλον πράττειν équivaut à πράττειν δὲ πάντα τὰ ἄλλα μᾶλλον ἢ τὸ δίκαιον.

ὑπομείναντας νυνὶ τὸν ἐξετασμὸν ἢ καὶ τὸ λοιπὸν πειθομένους ὑμᾶς ἔχειν περὶ αὐτῶν, ἢ παραχωρήσαντας ἐᾶν συμβουλεύειν τοὺς ἀληθέστερα περὶ τῶν δικαίων ἀποφαινομένους· [2] ἵν' ἢ ἑκόντες ἀδικούμενοι ἀνέχησθε καὶ αὐτὸ τοῦτο χαρίζησθε τῷ ἀδικοῦντι, ἢ προελόμενοι περὶ πλείστου ποιήσασθαι τὸ δίκαιον ἀνεγκλήτως πρὸς ἅπαντας χρῆσθε [τῷ συμφέροντι], μηκέτι μέλλοντες. Ἐξ αὐτῶν δὲ τῶν συνθηκῶν καὶ τῶν ὅρκων σκεψαμένους τῶν περὶ τῆς κοινῆς εἰρήνης ἔξεστιν ἰδεῖν ἤδη τίνες εἰσὶν οἱ παραβεβηκότες. Ὡς δὲ περὶ μεγάλων συντόμως διδάξω.

[3] Εἰ δή τις ἐρωτήσειεν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τίνι ἂν μάλιστ' ἀγανακτήσαιτ', εἴ τις ἀναγκάζοι, οἶμαι, εἰ ἦσαν κατὰ

NC. 6. ἅπαντας vulg. ἅπαντα S et Vœmel. Voir la note explicative. — χρῆσθε (χρῆσθαι S) τῷ συμφέροντι. J'ai mis entre crochets ces deux derniers mots, que je crois tirés du § 30. Là ils sont parfaitement à leur place; ici ils sont en contradiction avec le reste de la phrase et avec toute la suite du raisonnement. Pour ma part, j'avoue ne rien comprendre à cette étrange confusion du droit et de l'intérêt. Les mots ἀνεγκλήτως πρὸς ἅπαντας χρῆσθε (cf. §§ 23 et 30) demandent évidemment le complément sous-entendu : τῷ δικαίῳ. — 7-8. σκεψαμένους S. σκοπουμένοις vulg. — 10. ἐρωτήσειεν S seul. ἐρωτήσειεν ὑμᾶς vulg. — 11. ἀγανακτήσαιτε, εἴ τις ἀναγκάζοι, οἶμαι S. οἶμαι ἂν A. ἀγανακτήσητε, εἴποιτ' ἂν οἶμαι πάντες, εἴ τις ἀ. vulg. ἀγανακτήσαιτε, εἴποιτ' ἂν πάντες, εἴ τις ἀναγκάζοι. Οἶμαι δ' Dindorf. Cette dernière leçon est aussi mauvaise que la vulgate : car εἴ τις ἀναγκάζοι ne saurait être la réponse des Athéniens. Vœmel, qui adopte la leçon de S, la gâte en mettant un point après οἶμαι. Cependant le scholiaste avait déjà indiqué où finit le premier membre de la période, et G. H. Schæfer avait recommandé de transposer les mots εἴποιτ' ἂν οἶμαι πάντες après εἴ τις ἀναγκάζοι, transposition qui, pour le sens, revient à la leçon de S, pourvu qu'on ponctue comme il faut.

1. Ὑπομείναντας νυνὶ τὸν ἐξετασμόν, ayant aujourd'hui accepté l'examen, la discussion.

4-5. Καὶ αὐτὸ τοῦτο χαρίζησθε τῷ ἀδικοῦντι, et qu'en cela même (c'est-à-dire en supportant volontairement les injures) vous cherchiez à faire plaisir à l'auteur de ces injures.

6. Χρῆσθε. Sous-entendu αὐτῷ, c'est-à-dire τῷ δικαίῳ. L'orateur demande que les Athéniens mettent le droit au-dessus de tout et que, observant une politique correcte, irréprochable (ἀνεγκλήτως), ils se servent de leur droit dans leurs relations avec tous (πρὸς ἅπαντας), même les plus puissants, et sans plus différer. Quant aux mots τῷ συμφέροντι, cf. *NC*.

7-8. Σκεψαμένους. Cet accusatif se construit avec ἰδεῖν, le datif se construirait avec ἔξεστιν. Les deux constructions sont usitées. — Τῆς κοινῆς εἰρήνης. La paix générale, conclue entre la Macédoine et la Grèce tout entière, d'abord par Philippe, ensuite par Alexandre, aux deux congrès de Corinthe, en 338 et en 336. Cf. Plutarque, *Phocion*, 16 : Ὅπως ἡ πόλις μετέχοι τῆς κοινῆς εἰρήνης καὶ τοῦ συνεδρίου τοῖς Ἕλλησιν. Justin, IX, 5 : « Ibi (Corinthi) pacis legem universæ Græ« ciæ.... statuit. » Bœhnecke, *Forschungen*, I, p. 622 sqq.

9. Ὡς δὲ περὶ μεγάλων συντόμως διδάξω, je l'expliquerai brièvement par rapport à l'importance du sujet, c'est-à-dire, aussi brièvement que le permet l'importance du sujet.

10-11. Ἐπὶ τίνι.... ἀναγκάζοι, ce qui vous indignerait le plus, si on voulait vous y forcer. — Οἶμαι, je crois (que ce serait). Il y a ici une ellipse. J'aime mieux sous-

τὸν νυνὶ χρόνον οἱ Πεισιστρατίδαι καί τις ἐβιάζετο κατάγειν αὐτοὺς δευρί· ἁρπάσαντας ἂν ὑμᾶς τὰ ὅπλα πάντα κίνδυνον ὑπομεῖναι ἀντὶ τοῦ παραδέξασθαι, μὴ πεισθέντας γε δουλεύειν ἀντὶ τῶν ἀργυρωνήτων, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τὸν μὲν οἰκέτην οὐδεὶς ἂν ἑκὼν ἀποκτείνειε, τοὺς δὲ τυραννουμένους ἀκρίτους ἔστιν ὁρᾶν ἀπολλυμένους ἅμα καὶ ὑβριζομένους εἰς παῖδας καὶ γυναῖκας. [4] Παρὰ τοὺς ὅρκους τοίνυν καὶ τὰς συνθήκας τὰς ἐν τῇ κοινῇ εἰρήνῃ γεγραμμένας Ἀλέξανδρος εἰς Μεσσήνην καταγαγὼν τοὺς Φιλιάδου παῖδας, ὄντας τυράννους, ἆρ' ἐφρόντισε τοῦ δικαίου, ἀλλ' οὐκ ἐχρήσατο τῷ αὑτοῦ ἔθει τῷ τυραννικῷ, βραχὺ φροντίσας ὑμῶν καὶ τῆς κοινῆς ὁμολογίας; [5] Οὐ δὴ δεῖ, εἰ μέν τις ὑμᾶς ταῦτα βιάζοιτο, μάλιστ' 213
ἀγανακτῆσαι, εἰ δ' ἑτέρωθί που γέγονε παρὰ τοὺς πρὸς ὑμᾶς ὅρκους, μὴ φυλάξασθαι, καὶ ἡμῖν μὲν διακελεύεσθαί τινας ἐνταυθὶ ἐμμένειν τοῖς ὅρκοις, τοῖς δ' αὐτοὺς οὕτω περιβοήτως

NC 1. νυνὶ S. νῦν vulg. — καί τις S. καὶ εἴ τις vulg. — 2. δευρί. S: δεῦρ' εἰ. — 3. παραδέχεσθαι vulg. καταδέξασθαι Cobet. — μὴ πεισθέντας γε est notre correction de ἢ πεισθέντας γε, leçon que les éditeurs ont essayé d'expliquer tant bien que mal. — 6. ἀκρίτους S. ἀκρίτως vulg. — 10. ἐφρόντισεν S. — ἔθει S. ἤθει vulg. — 13. γέγονεν S. — 13-15. Vulgate : παρὰ τοὺς ὅρκους τοὺς πρὸς ὑμᾶς. — μὴ φυλάξασθαι. Variante : τοῦτο πράως ὑμᾶς ἔχειν καὶ ὅρκους μὴ φυλάξασθαι. — ἐνταυθί. Vulgate : ἐνταυθοῖ.

entendre μάλιστ' ἂν ὑμᾶς ἀγανακτῆσαι que ὑμᾶς ἂν εἰπεῖν ou εἴποιτ' ἄν.

1. Ἐβιάζετο, comme ἀναγκάζοι, ne désigne pas la contrainte, mais le dessein, la tentative de la contrainte. Cf. πείθουσι, *Symm.* § 41, et *passim*.

2-4. Ἁρπάσαντας ἂν.... ὑπομεῖναι. Cette phrase n'est pas, comme on croit généralement, l'apodose de celle qui précède, et dont nous l'avons séparée par un point en haut : elle développe l'idée de l'apodose (en partie sous-entendue) μάλιστ' ἂν ὑμᾶς ἀγανακτῆσαι οἶμαι. L'infinitif ὑπομεῖναι dépend donc de ce dernier verbe. — Μὴ πεισθέντας γε δουλεύειν, sans vous laisser persuader de servir. La particule γε (parasite, si on lit ἢ) indique que, si le sort des armes peut ravir la liberté aux Athéniens, du moins n'y renonceront-ils pas volontairement. — Ἀντὶ τῶν ἀργυρωνήτων, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ..., à l'égal des esclaves, et d'autant plus que, c'est-à-dire, et plus durement encore, puisque.... (Avec la leçon ἢ πεισθέντας, on était obligé de déchirer la relation naturelle ent:e τοσούτῳ μᾶλλον et δουλεύειν.) Les esclaves achetés, ἀργυρώνητοι, étaient d'ordinaire moins affectueusement traités que les esclaves nés dans la maison, οἰκογενεῖς.

6-7. Ὑβριζομένους εἰς παῖδας καὶ γυναῖκας. La préposition εἰς signifie ici « par rapport à ». Cf. *Contre Androtion*, § 55 : Εἰς χρήματα τὴν δίκην.... λαμβάνειν.

9. Καταγαγὼν τοὺς Φιλιάδου παῖδας. Les fils de Philiade, Néon et Thrasyloque, avaient été tyrans de Messène déjà du temps de Philippe, dont ils étaient partisans (cf. *Couronne*, § 295). Il résulte de ce passage que, chassés par le parti démocratique, ces tyrans furent rétablis par Alexandre. Quant à la date probable de ces révolutions, voir la *Notice*.

14. Τινας. Ce pronom, qui désigne les adversaires que combat l'orateur, est le sujet de διακελεύεσθαι. — Οὕτως περιβοήτως,

ἀνῃρηκόσι καταλείπειν ταύτην τὴν ἐξουσίαν. [6] Ἀλλ' οὐχ οἷόν τε ταῦθ' οὕτως ἔχειν, ἐὰν βούλησθε τῷ δικαίῳ χρῆσθαι· καὶ γὰρ ἔτι προσγέγραπται ἐν ταῖς συνθήκαις πολέμιον εἶναι τὸν ἐκεῖν' ἅπερ Ἀλέξανδρος ποιοῦντα ἅπασι τοῖς τῆς εἰρήνης κοινωνοῦσι, καὶ τὴν χώραν αὐτοῦ, καὶ στρατεύεσθαι ἐπ' αὐτὸν ἅπαντας. Οὐκοῦν ἐὰν ποιῶμεν τὰ συγκείμενα, πολεμίῳ χρησόμεθα τῷ κατάγοντι. [7] Ἀλλὰ γὰρ εἴποιεν ἂν οἱ τυραννίζοντες οὗτοι, ὅτι πρὶν τὰς συνθήκας γενέσθαι ἐτυράννουν Μεσσήνην οἱ Φιλιάδου παῖδες· διὸ καὶ καταγαγεῖν τὸν Ἀλέξανδρον αὐτούς. Ἀλλὰ καταγέλαστος ὁ λόγος, τοὺς μὲν ἐκ Λέσβου τυράννους, οἷον ἐξ Ἀντίσσης καὶ Ἐρέσου, ἐκβαλεῖν ὡς ἀδικήματος ὄντος τοῦ πολιτεύματος, τοὺς πρὸ τῶν ὁμολογιῶν τυ-

NC. 1. καταλείπειν. S et vulg. : καταλιπεῖν. — 7. κατάγοντι S, A[1]. καταγαγόντι vulg. — 8-9. μεσσήνην S seul. Μεσσηνίων vulg., ainsi que *Anecd.* Bekk. p. 174. — καταγαγεῖν Cobet. κατάγειν mss. — 11. ἐρέσου S. Αἰρέσου vulg.

« tam famose, cum flagitio tam immani. » Cf. *Couronne*, § 297 : Τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστάσεως καὶ κακίας. [Reiske et G. H. Schæfer.]

1. Ταύτην τὴν ἐξουσίαν, c'est-à-dire τὴν τοῦ ἀναιρεῖν τοὺς ὅρκους.

3-4. Τὸν ἐκεῖν' ἅπερ Ἀλέξανδρος ποιοῦντα, qui fait ce que fait Alexandre, c'est à-dire qui renverse le gouvernement établi dans une ville. L'orateur aime mieux se servir de cette périphrase que de citer l'article du traité, parce que la teneur du traité (on le verra tout à l'heure) n'était pas favorable à sa thèse.

7. Τῷ κατάγοντι. Le participe présent, qui généralise et fait abstraction du temps, est plus expressif qu'un participe du passé. Voir *NC.*

7-9. Οἱ τυραννίζοντες, les partisans des tyrans. Ce mot ne se retrouve pas ailleurs. Les verbes de cette espèce se tirent généralement de noms propres. Cf. μηδίζω, φιλιππίζω, etc. — Πρὶν τὰς συνθήκας γενέσθαι, déjà avant la conclusion du traité (et au moment où il fut juré). Cet argument n'est nullement risible : il était, au contraire, fondé en droit. On n'a qu'à lire la stipulation du traité citée par l'orateur lui-même au § 10. — Ἐτυράννουν Μεσσήνην. Construction rare et poétique. On cite Lucien, *Dial. Meretr.* III, 2 : Τυραννεῖν τὸ συμπόσιον. Denys d'Halicarnasse, *Ant. Rom.*, V, 34 : Τυραννήσοντες.... τὴν πόλιν. Cf. Euripide, *Hercule fur.* 28 : Τὴν ἑπτάπυργον τήνδε δεσπόζων πόλιν. *Phil.* IV, 32 : Πολεμοῦσι Φίλιππον.

10-12. Τοὺς.... ἐκ Λέσβου τυράννους.... ἐκβαλεῖν équivaut à τοὺς ἐν Λέσβῳ τυράννους ἐκ Λέσβου ἐκβαλεῖν. Voy. sur cet hellénisme, *Olynth.* I, 15 : Τὸν ἐκεῖθεν πόλεμον δεῦρ' ἥξοντα, *ib.* 27 et *passim*. — Ὡς ἀδικήματος ὄντος τοῦ πολιτεύματος. Il plaît à l'orateur de dire cela ; mais il est évident que les tyrans de Lesbos ne furent pas chassés pour ce motif. On voit, dans Arrien, III, 2, et Quinte-Curce, IV, 5 et 8, que plus tard (en 332) les tyrans de Chios et de Méthymne, et d'autres encore, furent châtiés par Alexandre pour avoir fait cause commune avec les Perses. Évidemment ceux d'Antisse et d'Éresos avaient été dès lors expulsés par la même raison. Je soupçonne que Memnon rétablit ces tyrans quand il s'empara de cette île peu de temps avant sa mort, en 333 (cf. Arrien, II, 2), et qu'Alexandre leur infligea une punition plus rigoureuse quand il les prit la seconde fois.

ραννήσαντας, ἐν δὲ Μεσσήνῃ μηδὲν οἴεσθαι διαφέρειν, τῆς αὐτῆς
δυσχερείας ὑπαρχούσης. [8] Ἔπειτα καὶ ἐπιτάττει ἡ συνθήκη
εὐθὺς ἐν ἀρχῇ ἐλευθέρους εἶναι καὶ αὐτονόμους τοὺς Ἕλληνας.
Διὸ καὶ πῶς οὐχ ὑπεράτοπον, ἡγεῖσθαι μὲν τῶν συνθηκῶν τὸ
αὐτονόμους εἶναι καὶ ἐλευθέρους, τὸν δ' εἰς δουλείαν ἀγαγόντα
μὴ οἴεσθαι τἀναντία ταῖς κοιναῖς ὁμολογίαις διαπεπρᾶχθαι;
Οὐκοῦν ἀναγκαῖόν ἐστιν ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ ταῖς 214
συνθήκαις καὶ τοῖς ὅρκοις ἐμμενοῦμεν καὶ τὰ δίκαια ποιήσομεν,
ἐφ' ἃ ὑμᾶς παρακαλοῦσι, καθάπερ ἄρτι εἶπον, λαβοῦσι τὰ ὅπλα
στρατεύεσθαι ἐπὶ τοὺς παραβεβηκότας μετὰ τῶν βουλομένων.
[9] Ἦ νομίζετε τὸν μὲν καιρόν ποτ' ἰσχύειν καὶ ἄνευ τοῦ δικαίου
τὸ συμφέρον πράττειν· νυνὶ δ', ὅτ' εἰς ταὐτὸν τὸ δίκαιον ἅμα
καὶ ὁ καιρὸς καὶ τὸ συμφέρον συνδεδράμηκεν, ἄλλον ἄρα τινὰ
χρόνον ἀναμενεῖτε τῆς ἰδίας ἐλευθερίας ἅμα καὶ τῆς τῶν ἄλλων
Ἑλλήνων ἀντιλαβέσθαι;

[10] Ἐπ' ἄλλο δὲ δίκαιον ἔρχομαι τῶν κατὰ τὰς συνθήκας. Ἔστι γὰρ γεγραμμένον, ἐάν τινες τὰς πολιτείας τὰς παρ' ἑκά-

NC. 1. οἴεσθαι. S : οἴεσθε. — 5. ἀγαγόντα S. ἄγοντα vulg. Cf. § 6. Mais ici le participe aoriste est nécessaire, à cause de διαπεπρᾶχθαι. — 7-8. ταῖς συνθήκαις καὶ τοῖς ὅρκοις S seul. τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις vulg. — 9. παρακαλοῦσιν S. — 11. ποτ'. S : τότε. — 12. ταὐτὸν S. ταὐτὸ (ou αὐτὸ) vulg. — 17. γεγραμμένον. C'est à ce mot que s'est arrêté le copiste de S, manuscrit dans lequel ce discours occupe la dernière place. A partir d'ici, nous donnerons la leçon de A (*Augustanus* I), manuscrit qui se rapproche beaucoup de S dans les premiers paragraphes de ce discours. — τις A[1].

1-2. Μηδὲν.... διαφέρειν « significat « rem esse indifferentem, non magni momenti, cujus neque commodum neque « damnum sit ingens, sive fiat, sive omit- « tatur, eoque reprehensionis vacuam. » [Reiske.] — Τῆς αὐτῆς δυσχερείας ὑπαρχούσης, quand la tyrannie est aussi odieuse à Messène qu'à Lesbos.

4. Ἡγεῖσθαι, se trouver en tête, occuper la première place.

6. Μὴ οἴεσθαι, et que l'on conteste. Le sujet de l'infinitif est général. — Διαπεπρᾶχθαι est au moyen. Cf. § 17. [G. H. Schæfer.]

7-10. Εἴπερ.... ἐμμενοῦμεν, si nous voulons rester fidèles. — Ἐφ' ἃ ὑμᾶς παρακαλοῦσι, ce qu'on vous engage à faire. Les partisans de la paix insistaient sur les traités et sur la justice; l'orateur dit qu'au nom de ces traités mêmes et de la justice, il faut se lever contre Alexandre. Cf. § 1 : Τοὺς λίαν ἐπ' αὐτὰ παρακαλοῦντας. C'est à tort que les éditeurs veulent que le sujet de παρακαλοῦσι soit αἱ συνθῆκαι καὶ οἱ ὅρκοι. — Παραβεβηκότας. Sous-ent. τὰς συνθήκας καὶ τοὺς ὅρκους. — Μετὰ τῶν βουλομένων. Ces mots se rattachent à στρατεύεσθαι.

11-12. Τὸν μὲν καιρόν ποτ' ἰσχύειν.... πράττειν, que des conjonctures favorables ont quelquefois assez d'empire sur les hommes pour qu'ils agissent aussi en vue de leur intérêt, fût-ce en dehors de la justice.

13. Ὁ καιρός. Il est fâcheux que l'orateur ne s'explique pas sur ces conjonctures.

17 sq. Τὰς.... οὔσας, ὅτε.... ὤμνυσαν

τοὺς νόμους, ἐν τοῖς ἴσοις τοῖς περὶ τῆς εἰρήνης ὡμολογημένοις κατέλυσεν [illegible] πολεμίους εἶναι πᾶσι τοῖς τῆς εἰρήνης μετέχουσι. Ἐπιλέλησθε δ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Ἀχαιοὶ μὲν οἱ ἐν Πελοποννήσῳ ἐδημοκρατοῦντο, τούτων δ' ἐν Πελλήνῃ νῦν καταλέλυκε τὸν δῆμον ὁ Μακεδὼν ἐκβαλὼν τῶν πολιτῶν τοὺς πλείστους, τὰ δ' ἐκείνων τοῖς οἰκέταις δέδωκε, Χαίρωνα δὲ τὸν παλαιστὴν τύραννον ἐγκατέστησεν. [11] Ἡμεῖς δὲ τῆς εἰρήνης μετέχομεν τῆς κελευούσης πολεμίους ἡγεῖσθαι τοὺς ταῦτα πράττοντας. Πότερα δὴ τούτοις πεισθέντες τοῖς κοινοῖς προστάγμασι πολεμίοις αὐτοῖς χρήσομεν, ἢ βδελυρεύσεταί τις οὐ φάσκων, τούτων τῶν μισθοφορούντων παρὰ τοῦ Μακεδόνος, τῶν καθ' ὑμῶν πεπλουτηκότων; [12] Οὐ γὰρ δὴ λέληθέ γ' αὐτοὺς οὐδὲν τούτων· ἀλλ' εἰς τοῦθ' ὕβρεως ἥκουσιν ὥστε δορυφορούμενοι τῷ τοῦ τυράννου στρατοπέδῳ ὁ μὲν τοὺς παραβεβασμένους ὅρκους ἐμμένειν ὑμῖν διακελεύονται, ὡς καὶ τῆς ἐπιορκίας κυρίου ὄντος ἐκείνου, τοὺς δ' ἰδίους ὑμᾶς

XI. 2. κατέλυσεν A : κατέλυσε. — 5. τὸν δῆμον. Variante : τὴν πόλιν. — 8-9. μετέχομεν τῆς εἰρήνης A. — 9. πότερα πεισθέντες A. πότερα πεισθῶμεν vulg. — G. H. Schaefer a fait observer que cette dernière leçon demanderait, l. 11, [illegible] au lieu de [illegible]. — 13. εἰς τοσοῦθ' A. — 14. [illegible] Herwerden.

équivaut à [illegible] ... ἤτοι, ὅτε... ἐπεπλουτήκεσαν. Ce que nous appelons le participe présent est aussi le participe de l'imparfait. Cf. δορυφοροῦντας, Phil. II, 24, et passim.

6-7. Χαίρωνα δὲ τὸν παλαιστήν. Pausanias, VII, XXVII, 7, énumère ses victoires aux grands jeux de la Grèce. Ce Chéron avait été disciple de Platon. Cf. Athénée, XI, p. 509 B : Χαίρων ὁ Πελληνεὺς οὐ μόνον Πλάτωνι ἐσχόλακεν, ἀλλὰ καὶ Ξενοκράτει. Καὶ οὗτος οὖν τῆς πατρίδος πικρῶς τυραννήσας οὐ μόνον τοὺς ἀρίστους τῶν πολιτῶν ἐξήλασεν, ἀλλὰ καὶ τοῖς τούτων δούλοις τὰ χρήματα τῶν δεσποτῶν χαρισάμενος καὶ τὰς ἐκείνων γυναῖκας συνῴκισε πρὸς γάμου κοινωνίαν. L'orateur charge de ces excès Alexandre lui-même.

9-12. Πότερα πεισθῶμεν... χρήσομεν, est-ce que nous nous conformons aux prescriptions des traités helléniques en les considérant comme des ennemis ? — Ἢ βδελυρεύσεταί τις οὐ φάσκων, τούτων.... Μακεδόνος, ou bien quelqu'un aura-t-il l'impudence de nier cela, quelqu'un de ces mercenaires du Macédonien? Le verbe βδελυρεύεσθαι est signalé par Libanius comme étant plutôt du style d'Hypéride que de celui de Démosthène. Ce mot très-énergique ne se rencontre pas ailleurs. — Τῶν καθ' ὑμῶν πεπλουτηκότων, qui ont reçu des richesses (ont été enrichis), afin d'agir contre vous. L'orateur s'est commenté lui-même en disant au § 13 : Τοῖς πεπρακόσιν ἑαυτοὺς εἰς τἀναντία τοῖς τῇ πατρίδι συμφέρουσιν.

13-16. Δορυφορούμενοι, ayant pour gardes du corps. Cette expression jette de l'odieux sur les partisans d'Alexandre, en les représentant comme des tyrans entourés de soldats étrangers qui veillent sur leur sûreté personnelle. — Παραβεβασμένους. Cf. Thucydide, I, 123 : Σπονδὰς.... παραβεβήσεσθαι. — Ὡς καὶ τῆς ἐπιορκίας κυρίου ὄντος ἐκείνου, comme si cet homme était aussi revêtu du pouvoir absolu de se parjurer.

νόμους ἀναγκάζουσι λύειν, τοὺς μὲν κεκριμένους ἐν τοῖς δικαστηρίοις ἀφιέντες, ἕτερα δὲ παμπληθῆ τοιαῦτα βιαζόμενοι παρανομεῖν. [13] Εἰκότως· τοῖς γὰρ πεπρακόσιν ἑαυτοὺς εἰς τἀναντία τοῖς τῇ πατρίδι συμφέρουσιν οὐκ ἔνι μέλειν νόμων οὐδ' ὅρκων· τοῖς δ' ὀνόμασι μόνον αὐτῶν ἀποχρώμενοι παρακρούονται τοὺς παρέργως ἐνταυθί, ἀλλ' οὐκ ἐξεταστικῶς ἐκκλησιάζοντας, καὶ νομίζοντας τὴν παραυτίχ' ἡσυχίαν οὐκ ἔσεσθαί ποτ' αἰτίαν ταραχῆς ἀτόπου [μεγάλης]. [14] Κελεύω δ' ἔγωγε, καθάπερ ἐν ἀρχῇ προεῖπον, πείθεσθαι τούτοις τοῖς φάσκουσι δεῖν ἐν ταῖς κοιναῖς ὁμολογίαις ἐμμένειν, εἰ μὴ ἐκεῖνο νομίζουσιν, ὅταν μὲν λέγωσιν ὡς ἐμμενετέον τοῖς ὅρκοις, οὐ λέγειν αὐτοὺς τὸ μηδὲν ἀδικεῖσθαι, οὐδένα δ' οἴονται αἰσθήσεσθαι, τυραννίδων ἀντὶ δημοκρατιῶν καθισταμένων καὶ τῶν πολιτειῶν καταλυομένων.

[15] Τὸ δ' ἔτι καταγελαστότατον· ἔστι γὰρ ἐν ταῖς συνθή-

NC. 2 ἀφιέντες. Variante : ἀφέντες. — 4. μέλειν. Vœmel préfère à tort μετέχειν, leçon de A. — 5. μόνον αὐτῶν A. αὐτῶν μόνοις vulg. Cf. *Phil.* III, 57 : Παρὰ τούτοις μόνον. — 6. ἐνταυθί. Vulg. : ἐνταυθοῖ. — 8. [μεγάλης]. Cette glose a été écartée par Bekker. La variante ἀτόπου καὶ μεγάλης doit être regardée comme un essai de corriger le texte traditionnel. — 10. [ἐν] Herwerden. — 12. αὐτοὺς... ἀδικεῖσθαι omis par A[1]. Vœmel μηδέν', conjecture plus spécieuse que vraie de H. Wolf. Cf. § 2 : Ἵν' ἢ ἑκόντες ἀδικούμενοι ἀνέχησθε. — δ' est omis dans A. — 15. τὸ δ' ἔτι (vulg. : τοῦτο δ' ἐστὶ) καταγελαστότατον. Reiske et Bekker : τὸ δ' ἔτι καταγελαστότερον. Dindorf : τὸ δὲ καταγελαστότατον.

1-2. Κεκριμένους équivaut ici à κατακεχριμένους. — Ἀφιέντες. J'ignore les faits auxquels l'orateur fait allusion. Il s'agit probablement de citoyens condamnés judiciairement pour cause politique, et graciés par décret du peuple à l'instigation de Démade ou d'Eschine.

4-5. Νόμων. Ce mot se rapporte aux faits que l'orateur vient de rappeler incidemment. En ajoutant οὐδ' ὅρκων, il revient au sujet principal de son discours.

6-7. Τοὺς.... οὐκ ἐξεταστικῶς ἐκκλησιάζοντας, ceux qui suivent les délibérations de l'assemblée sans esprit d'examen, sans aller au fond des choses.

8. Ταραχῆς ἀτόπου, d'un bouleversement extraordinaire, imprévu.

11-14. Ὅταν μὲν λέγωσιν.... τὸ μηδὲν ἀδικεῖσθαι, s'ils disent qu'il faut (que nous devons) observer le traité, ils ne veulent pas dire de ne supporter (que nous ne devons supporter) aucune injure. — Οὐδένα δ' οἴονται αἰσθήσεσθαι, et croient que personne ne s'en apercevra, ne s'apercevra de cette interprétation mentale. — Τυραννίδων.... καταλυομένων. J'ai mis une virgule avant ces mots. Les éditeurs les considéraient comme le régime de αἰσθήσεσθαι : ce qui obscurcissait la pensée de l'orateur. Ce sont des génitifs absolus. « Quand des tyrannies sont établies à la place de démocraties et que les constitutions des cités sont renversées. » Les derniers mots : καὶ τῶν πολιτειῶν καταλυομένων, peuvent sembler plus faibles que ceux qui précèdent. Ils sont ajoutés afin de rappeler la teneur même de l'article du traité. Cf. § 10.

15. Τὸ δ' ἔτι καταγελαστότατον, et la chose la plus dérisoire (, la voici). Locution elliptique pour annoncer ce qui va

καις ἐπιμελεῖσθαι τοὺς συνεδρεύοντας καὶ τοὺς ἐπὶ τῇ κοινῇ φυλακῇ τεταγμένους ὅπως ἐν ταῖς κοινωνούσαις πόλεσι τῆς εἰρήνης μὴ γίγνωνται θάνατοι καὶ φυγαὶ παρὰ τοὺς κειμένους ταῖς πόλεσι νόμους, μηδὲ χρημάτων δημεύσεις, μηδὲ γῆς ἀναδασμοί, μηδὲ χρεῶν ἀποκοπαί, μηδὲ δούλων ἀπελευθερώσεις ἐπὶ νεωτερισμῷ. Οἱ δὲ τοσούτου δέουσι τούτων τι κωλύειν ὥστε καὶ συγκατασκευάζουσιν. Οὓς πῶς οὐ προσήκει ἀπολωλέναι; οἳ τηλικαύτας συμφορὰς παρασκευάζουσιν ἐν ταῖς πό-
216 λεσιν, ἃς διὰ τὸ μέγεθος αὐτοῖς τοσούτοις οὖσι μὴ περιορᾶν ἐπέταξαν.

[16] Ἔτι δ' ἕτερον δείξω τὸ λελυκὸς τὰς συνθήκας. Ἔστι γὰρ γεγραμμένον, ἐκ τῶν πόλεων τῶν κοινωνουσῶν τῆς εἰρήνης μὴ ἐξεῖναι φυγάδας ὁρμήσαντας ὅπλ' ἐπιφέρειν ἐπὶ πολέμῳ ἐπὶ μηδεμίαν πόλιν τῶν μετεχουσῶν τῆς εἰρήνης· εἰ δὲ μή, ἔκσπονδον

RC. 6. τοσούτου, suivi d'un ι gratté, A. — 10. Var. : ἐπέταξεν. — 13-14. ἐπὶ μηδεμίαν πόλιν A, et le scholiaste. La vulgate μηδεμιᾷ πόλει est plus élégante. Mais l'orateur semble citer textuellement les termes du traité. [Vomel.]

suivre. Cf. *Olynth.* II, 4 : Καὶ τὸ μέγιστον ἁπάντων.... *Phil.* II, 34 : Καὶ τὸ πάντων αἴσχιστον. Ici l'adverbe ἔτι semble porter sur un comparatif sous-entendu : comme si l'on voulait dire τὸ δ' ἔτι καταγελαστότερον καὶ πάντων καταγελαστότατον. Cf. *Olynth.* II, 12 : Ὅσῳ.... ἑτοιμότατα..., τοσούτῳ μᾶλλον, et des phrases comme ἀξιολογώτατον τῶν προγεγενημένων (Thucydide, I, 1). — Ἔστι γάρ. Si tous les rapports étaient exprimés, on lirait ici ἔστι μὲν γάρ.... et plus bas οἱ δ' οὖν τοσούτου δέουσι. La phrase enclavée ἔστι γάρ.... explique pourquoi le fait énoncé plus bas est si dérisoire. Cf. § 16 et Xénophon, *Anabase*, V, 1, 8 : Ἔτι τοίνυν ἀκούσατε καὶ τάδε· ἐπὶ λείαν γὰρ ὑμῶν ἐκπορεύσονταί τινες· οἶμαι οὖν βέλτιον εἶναι.

4. Τοὺς συνεδρεύοντας. Le conseil fédéral établi par la paix de Corinthe. Cf. Justin, IX, 5 : « Compositis in Graecia rebus Philippus omnium civitatum legatos ad formandum rerum praesentium statum evocari Corinthum jubet. Ibi pacis legem universae Graeciae pro meritis singularum civitatum statuit; conciliumque omnium, veluti unum senatum, ex omnibus legit. » Diodore, XVI, 89 : Ἐν Κορίνθῳ τοῦ κοινοῦ συνεδρίου συναχθέντος. Hypéride, *Pour Euxénippe*, col. XXXII.

6. Ἐπὶ νεωτερισμῷ. Ces mots ne portent que sur δούλων ἀπελευθερώσεις. On interdisait les affranchissements en masse qui avaient un caractère révolutionnaire. On a dans ce qui précède une énumération complète des mesures révolutionnaires les plus usitées dans les cités antiques.

7-10. Ἀπολωλέναι, être puni de mort. — Ἐν ταῖς πόλεσιν. Le pluriel généralise. Car, par le fait, l'orateur ne semble avoir en vue que ce qui s'était passé à Pellène. Si de pareils excès avaient été commis ailleurs, il n'aurait pas manqué de le dire expressément. — Ἃς (συμφορὰς) διὰ τὸ μέγεθος αὐτοῖς τοσούτοις οὖσι μὴ περιορᾶν ἐπέταξαν, quand c'est précisément à cause de la gravité de ces fléaux (excès) qu'ils ont été chargés en si grand nombre de ne pas les tolérer. — Ἐπέταξαν a un sujet général, 'on. H. Wolf et d'autres sous-entendent αἱ συνθῆκαι.

12. Ἐκ τῶν πόλεων. Ces mots dépendent de ὁρμήσαντας, et non de φυγάδας. « Sententia est, exules vi reditum in patriam

εἶναι τὴν πόλιν ἐξ ἧς ἂν ὁρμήσωσιν. Οὕτω τοίνυν ῥᾳδίως ἐπήνεγκε τὰ ὅπλ' ὁ Μακεδὼν ὥστ' οὐδὲ κατέθετο πώποτε, ἀλλ' ἔτι καὶ νῦν ἔχων περιέρχεται καθ' ὅσον δύναται, καὶ τοσούτῳ νῦν μᾶλλον ἢ πρότερον, ὅσῳ ἐκ προστάγματος ἄλλους θ' ἑτέρωσε καὶ τὸν παιδοτρίβην εἰς Σικυῶνα κατήγαγεν. [17] Οὐκοῦν εἰ δεῖ πείθεσθαι ταῖς κοιναῖς ὁμολογίαις, καθάπερ οὗτοί φασιν, ἔκσπονδοι ἡμῖν εἰσιν αὗται αἱ πόλεις αἱ ταῦτα διαπεπραγμέναι. Εἰ μὲν οὖν δεῖ ἐπικρύπτεσθαι τἀληθῆ, οὐδὲν δεῖ λέγειν ὅτι εἰσὶν αἱ Μακεδονικαί· εἰ δ' οὐκ ἀνιᾶσιν οἱ καθ' ὑμῶν τῷ Μακεδόνι ὑπηρέται προστάττοντες πράττειν τὰ ἐν ταῖς κοιναῖς ὁμολογίαις, πεισθῶμεν αὐτοῖς, ἐπειδὴ τὰ δίκαια λέγουσι, καὶ καθάπερ κελεύει ὁ ὅρκος, ἐκσπόνδους αὐτοὺς ποιήσαντες βουλευσώμεθα πῶς δεῖ χρῆσθαι τοῖς δεσποτικῶς καὶ ἀσελγῶς διακειμένοις καὶ διὰ τέλους τὰ μὲν ἐπιβουλεύουσι, τὰ δ' ἐπιτάττουσι, καὶ καταγελῶσι τῆς κοινῆς εἰρήνης. [18] Διὰ τί γὰρ οὐ φήσουσιν οὗτοι δεῖν ταῦθ' οὕτως ἔχειν; ἢ ὁμολογίαν τὴν μὲν

NC. 1. ὁρμήσωσιν. A : ὁρμηθῶσιν. Vulgate : ὁρμήσωσιν οὗτοι. — 1-2. τὰ ὅπλα ἐπήνεγκεν vulg. — 3. καὶ τοσούτῳ. Vulg. : τοσούτῳ δὲ. — 4. ἑτέρωσε Cobet. ἑτέρωθι mss. — 5. κατήγαγεν. A : κατῆγεν. — 14-15. τὰ δ' ἐπιτάττουσι A. τὰ δὲ πράττουσι vulg. — 16. ὁμολογίαν τὴν μὲν. Vulgate : τὴν μὲν ὁμολογίαν τήν. « Orator loquitur hypothetice. *Pactum si quod officiat civitati.* » [G. H. Schæfer.]

« (si ea sit ex fœderatis civitatibus) sibi « patefacere studentes in fœderatis civitatibus neque ferendos neque adjuvandos « esse. » [H. Wolf.]

3-4. Καὶ τοσούτῳ νῦν μᾶλλον ἢ πρότερον, ὅσῳ ἐκ προστάγματος.... L'abus de la force est d'autant plus redoutable, que le Macédonien n'a même plus besoin d'employer cette force en effet : il suffit d'un simple ordre d'Alexandre pour ramener des exilés dans les cités qui les avaient bannis. Je ne sais si on a bien compris la portée de cette phrase. L'orateur prouve très-bien que les Macédoniens sont les maîtres de la Grèce ; mais, quelque ingénieux que soit son raisonnement, il ne prouve pas qu'ils aient violé les traités : il est, au contraire, obligé d'avouer implicitement qu'Alexandre obtient tout ce qu'il veut par son influence, et sans recourir aux armes.

5. Τὸν παιδοτρίβην. On ignore quel est ce maître de gymnastique. Aristrate et Épicharès sont désignés comme chefs du parti macédonien à Sicyone dans le discours pour la Couronne, § 48 et § 295.

8-10. Οὐδὲν δεῖ λέγειν ὅτι εἰσὶν αἱ Μακεδονικαί, il ne faut pas dire que ces cités sont les cités macédoniennes. Ne traduisez pas : « Il ne faut rien dire, parce que.... » — Εἰ δ' οὐκ, et non εἰ δὲ μή, parce que εἰ équivaut ici à ἐπεί. Cf. *Rhodiens*, § 23. — Οἱ.... τῷ Μακεδόνι ὑπηρέται. Ce dernier substantif, équivalant au participe ὑπηρετοῦντες, peut gouverner un datif. Des locutions comme ἐφόδια τοῖς στρατευομένοις (*Olynth.* III, 20) ne sont pas tout à fait analogues.

12. Ἐκσπόνδους αὐτοὺς ποιήσαντες. Ici αὐτούς ne se réfère pas à αὐτοῖς, mais désigne les violateurs du traité, c'est-à-dire les Macédoniens.

κατὰ τῆς πόλεως οὖσαν βεβαίαν ἀξιοῦσιν εἶναι, τὴν δὲ σῴζουσαν οὐ συγχωρήσουσιν; Ἆρα δίκαιον ταῦτα γίγνεσθαι; Κἂν μέν τι ᾖ πρὸς τῶν ἐχθρῶν κατὰ τῆς πόλεως ἐν τοῖς ὅρκοις, 217 τοῦτο μὲν ἰσχυρὸν ἀεὶ ποιήσουσιν· ἐὰν δέ τι ἡμέτερον ᾖ κατ' ἐκείνων ἅμα δίκαιον καὶ συμφέρον, πρὸς τοῦτο δὲ διαμαχομένους οὐδέποτε παύσασθαι οἰήσονται δεῖν ἑαυτούς;

[19] Ἵνα δ' εἰδῆτ' ἔτι σαφέστερον ὅτι οὐδεὶς ὑμῖν ἐγκαλεῖ ποτε τῶν Ἑλλήνων ὡς ἄρα παρέβητέ τι τῶν κοινῇ ὁμολογηθέντων, ἀλλὰ καὶ χάριν ἕξουσιν ὅτι μόνοι ἐξηλέγξατε τοὺς ταῦτα ποιοῦντας, μικρὰ ἐπιδραμοῦμαι περὶ αὐτῶν πολλῶν ὄντων. Ἔστι γὰρ δήπου ἐν ταῖς συνθήκαις τὴν θάλατταν πλεῖν τοὺς μετέχοντας τῆς εἰρήνης, καὶ μηδένα κωλύειν αὐτοὺς μηδὲ κατάγειν πλοῖον μηδενὸς τούτων· ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, πολέμιον εἶναι πᾶσι τοῖς τῆς εἰρήνης μετέχουσιν. [20] Οὐκοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐναργέσταθ' ἑοράκατε τοῦθ' ὑπὸ τῶν Μακεδόνων γεγενημένον· εἰς τοῦτο γὰρ ὑπεροψίας ἦλθον ὥστ' εἰς Τένεδον ἅπαντα τὰ ἐκ τοῦ Πόντου πλοῖα κατήγαγον, καὶ σκευωρούμενοι περὶ αὐτὰ οὐ πρότερον ἀνεῖσαν, πρὶν ὑμεῖς ἐψη-

NC. 2. συγχωροῦσιν vulg. — δίκαιον ταῦτα A[1]. γε δοκεῖ δίκαια vulg. — 3-5. πόλεως ὡς vulg. — ὑμέτερον vulg. — [κατὰ τῆς πόλεως] et [κατ' ἐκείνων] Cobet. — 5-6. Variantes : τοῦτο διαμαχομένους, et τοῦτο δὲ μαχομένους. — 7. ἐγκαλεῖ Cobet. ἐγκαλέσει mss. — 11. γάρ που vulg. — 13. μηδενὸς τούτων G. H. Schæfer. μηδένα τούτων manuscrits. — 15. ἀθηναῖοι A. Ἀθηναῖοι, ὑμεῖς μὲν vulg. — ἑωράκατε (*sic*) A. ἴστε vulg. — 16. ὑπεροψίας A. παρανομίας vulg. — 17. πλοῖα κατήγαγον A. κατήγαγον vulg. — 18. ἀνεῖσαν est notre correction. ἀφεῖσαν manuscrits et éditions. Mais ἀφίεμαι ποιῶν τι, pour ἀφίημι ποιεῖν τι ou ἀφίεμαι τοῦ ποιεῖν τι, est sans exemple. — πρὶν A. Variantes : πρὶν οὗ et πρὶν ἤ.

3-5. Πρὸς τῶν ἐχθρῶν, dans l'intérêt des ennemis. Cf. *Contre Béotus*, I, 40 : Πρὸς ἐμοῦ τὴν ψῆφον ἔθεσθε. Le sens premier est « du côté de quelqu'un, *a parte alicujus*, » comme chez Eschyle, *Sept Chefs*, 516 : Πρὸς τῶν κρατούντων δ' ἐσμὲν, οἱ δ' ἡσσωμένων. — Ἡμετέρον est un adjectif à l'égard duquel les mots δίκαιον et συμφέρον jouent le rôle de substantifs. — Πρὸς τοῦτο δέ répond à τοῦτο μὲν, de même que ἐὰν δέ τι répond à κἂν μέν τι. Voilà comment, dans cette période parfaitement construite, la conjonction μέν se trouve dans les deux membres de la première phrase, et la conjonction δέ dans les deux membres de la seconde phrase. [G. H. Schæfer.]

8. Ὡς ἄρα. La particule ἄρα indique que telle est l'assertion erronée mise en avant par les partisans d'Alexandre.

9-11. Τοὺς ταῦτα ποιοῦντας, c'est-à-dire τοὺς παραβάντας τι τῶν κοινῇ ὁμολογηθέντων. — Μικρὰ.... πολλῶν ὄντων. Cf. Eschyle, *Perses*, 330 : Πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακά. — Τὴν θάλατταν πλεῖν. Cf. *Phil.* I, 34 : Τοὺς πλέοντας τὴν θάλατταν. On lit déjà chez Homère, *Odyss.* III, 71 : Πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;

13. Κατάγειν. Cf. *Paix*, § 25.

17-18. Εἰς Τένεδον ἅπαντα τὰ ἐκ τοῦ

φίσασθε τριήρεις ἑκατὸν πληροῦν [καὶ καθέλκειν] εὐθὺς τότε, καὶ στρατηγὸν ἐπ' αὐταῖς ἐτάξατε Μενεσθέα. [21] Πῶς οὖν οὐκ ἄτοπον τοσαῦτα μὲν εἶναι καὶ τηλικαῦτα τὰ ἡμαρτημέν' ἑτέροις, τοὺς δ' ἐνταῦθα φίλους αὐτῶν μὴ ἐκείνους ἀποτρέπειν τοὺς παραβαίνοντας, ἀλλ' ὑμῖν συμβουλεύειν ἐμμένειν τοῖς οὕτως ὠλιγωρημένοις; ὥσπερ καὶ τούτου προσγεγραμμένου τοῖς μὲν ἐξεῖναι πλημμελεῖν, τοὺς δὲ μηδ' ἀμύνεσθαι. [22] Πῶς δ' οὐχ ἅμα τε παρενόμουν ἐκεῖνοι καὶ ἀναίσθητοι ἦσαν, οἵ γε τηλικοῦτον παρέβησαν τῶν ὅρκων, ὃ παρ' ἐλάχιστον ἐποίησεν αὐτοὺς ἀφαιρεθῆναι δικαίως τὴν κατὰ θάλατταν ἡγεμονίαν; Καὶ νῦν ἔτι παραδεδώκασι τοῦτο τὸ δίκαιον ἀνεγκλήτως ἡμῖν, 218
ὅταν βουληθῶμεν πράττειν· οὐ γὰρ ὅτι ἐπαύσαντ' ἐξαμαρτάνοντες, ἧττόν τι δήπου παραβεβήκασι τὰς κοινὰς ὁμολογίας. [23] Ἀλλ' εὐτυχοῦσιν, ὅτι ἐναποχρῶνται τῇ ὑμετέρᾳ ῥᾳθυμίᾳ τῇ οὐδὲ τῶν δικαίων ἀπολαύειν προαιρουμένῃ. Ὃ καὶ ὑβριστι-

NC. 1. καὶ καθέλκειν manque dans A[1]. — 3. τηλικαῦτα τὰ A. τηλικαῦτα vulg. — 7. τοὺς δὲ A. τοῖς δὲ vulgate, conservée par les derniers éditeurs. — 8. ἅμα τε A. ἅμα vulg. — 9. ὃ παρ' ἐλάχιστον. A : ὅπερ οὐκ ἐλάχιστον ὄν. — 12-13. ἐξαμαρτάνοντες A. ἁμαρτάνοντες vulg. — ἧττόν τι A. ἧττον vulg. — 14. ἐναποχρῶνται. G. H. Schæfer proposait εὖ ἀποχρῶνται. Il se peut aussi que ἐναποχρῶνται soit la glose de ἐντρυφῶσι. 15. οὐδὲ A. οὐδὲν vulg. — ὃ καὶ A. καὶ vulg. ὃ δὲ G. H. Schæfer et Dindorf. Voir la note explicative.

Πόντου πλοῖα κατήγαγον. Nous ne connaissons ce fait que par ce discours. Ces navires étaient sans doute chargés de grains à la destination d'Athènes et d'autres ports grecs. — Σκευωρούμενοι.... ἀνεῖσαν, et ils ne cessèrent de s'agiter autour de ces vaisseaux, de les guetter. Cf. § 17 : Εἰ δ' οὐκ ἀνιᾶσιν.... προστάττοντες.

2. Μενεσθέα. Fils d'Iphicrate. Cf. Cornélius Népos, *Iphicr.* 3; Isocrate, *Antidose*, § 129; Denys d'Halicarnasse, *Dinarque*, p. 667, Reiske.

5-7. Τοῖς οὕτω ὠλιγωρημένοις est au neutre. Il s'agit des traités. — Τοὺς δὲ μηδ' ἀμύνεσθαι, et que les autres ne devaient pas même se défendre.

9-10. Τηλικοῦτον παρέβησαν τῶν ὅρκων, ὃ παρ' ἐλάχιστον ἐποίησεν αὐτούς, ils ont commis une violation des serments assez grande pour faillir les priver. Τηλικοῦτον.... ὃ est dit comme τίς οὕτως εὐήθης ἐστὶν ὅστις..., *Olynth.* I, 15. Cf. aussi Thucydide, VIII, 76 : Ἣ (Samos) παρ' ἐλάχιστον δὴ ἦλθε τὸ Ἀθηναίων κράτος τῆς θαλάσσης.... ἀφελέσθαι.

11-12. Καὶ νῦν ἔτι.... ἀνεγκλήτως ἡμῖν, et ils nous ont donné le droit d'agir ainsi (de les priver du commandement des forces navales de la Grèce) sans encourir un reproche. Νῦν ἔτι équivaut ici à ἔτι νῦν. Les mots τοῦτο τὸ δίκαιον se réfèrent à ἀφαιρεθῆναι δικαίως τὴν.... ἡγεμονίαν. L'adverbe ἀνεγκλήτως (cf. § 2) se rapporte à l'idée sous-entendue de ἀφαιρεῖν, ou de χρῆσθαι (τούτῳ τῷ δικαίῳ). — Πράττειν, agir, sortir de notre inaction.

14-15. Ἐναποχρῶνται. Ce verbe surcomposé ne saurait se justifier par le rapprochement de ἐγγελᾶν, ἐνυβρίζειν, ἐντρυφᾶν τινι. Voir *NC*. — Τῶν δικαίων ἀπολαύειν, jouir de notre droit, profiter de notre droit, profiter des avantages que nous donne notre droit.

15-1. Ὃ καὶ ὑβριστικώτατον συμβέ-

κώτατον συμβέβηκεν, εἰ οἱ μὲν ἄλλοι Ἕλληνες καὶ βάρβαροι ἅπαντες τὴν πρὸς ὑμᾶς ἔχθραν φοβοῦνται, οὗτοι δ' οἱ νεόπλουτοι μόνοι καταφρονεῖν ὑμᾶς ὑμῶν αὐτῶν ἀναγκάζουσι, τὰ μὲν πείθοντες, τὰ δὲ βιαζόμενοι, ὥσπερ ἐν Ἀβδηρίταις ἢ Μαρωνείταις, ἀλλ' οὐκ ἐν Ἀθηναίοις πολιτευόμενοι. [24] Καὶ ἅμα μικρὰ μὲν τὰ ὑμέτερα [πράγματα] ποιοῦσι, τὰ δὲ τῶν ἐχθρῶν ἰσχυρά, ἅμα δὲ λανθάνουσιν ἑαυτοὺς ἀνυπόστατον τὴν πόλιν ὁμολογοῦντες εἶναι, διακελευόμενοι τὸ δίκαιον οὐ δικαίως διαφυλάττειν, ὡς τῷ συμφέροντί γε προελομένην χρῆσθαι κρατεῖν ἂν τῶν πολεμίων ῥᾳδίως δυνηθεῖσαν. [25] Εἰκότως δ' αὐτὸ πεπόνθασιν· ἕως γὰρ ἂν ἐξῇ τῶν κατὰ θάλατταν καὶ μόνοις ἀναμφισβητήτως εἶναι κυρίοις, τοῖς γε κατὰ γῆν πρὸς τῇ ὑπαρχούσῃ δυνάμει ἔστι προβολὰς ἑτέρας ἰσχυροτέρας εὑρέσθαι,

NC. 6. μικρὰ μὲν A. μὲν μικρὰ vulg. — ὑμετερα A[1]. πράγματα en marge A[2]. ἡμέτερα πράγματα vulg. — 11. μόνοις A. μόνων vulg. — 13. προβολὰς Harpocration et d'autres lexicographes. προσβολὰς vulg. — ἰσχυροτέρας, après ἑτέρας, manque dans la vulgate.

βηκεν, et voilà ce qu'il y a de plus insultant. L'orateur ne passe pas à un nouvel ordre de considérations : il ne fait que développer ce qui précède. (Voir *NC.*)

2-3. Οἱ νεόπλουτοι. L'antithèse οἱ μὲν Ἕλληνες καὶ βάρβαροι peut faire croire qu'ici, comme plus haut, l'orateur prend à partie les Macédoniens. Cependant la suite montre qu'il s'attaque à leurs partisans Athéniens, ceux qu'il appelle plus haut (§ 11) τοὺς καθ' ὑμῶν πεπλουτηκότας, ceux dont Démosthène dit (*Cherson.* § 66) : τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ πλούσιοι γίγνονται. Le composé νεόπλουτος, qui ne se lit pas chez Démosthène (cf. l'Argument de Libanios), peut sembler emprunté au style poétique. A partir d'Aristote, les prosateurs s'en servent sans scrupule. Il faut dire cependant que ἀρχαιόπλουτος se trouve déjà dans Lysias (*Pour les biens d'Aristophane*, § 49).

4-5. Ὥσπερ ἐν Ἀβδηρίταις ἢ Μαρωνείταις. Cf. *Réformes*, § 34 : Σιφνίοις ἢ Κυθνίοις, avec la note. Les villes d'Abdère et de Maronée se trouvaient sur la côte de la Thrace au nord de l'Archipel.

5-10. Ἅμα.... ἅμα δέ.... Les orateurs vendus à la Macédoine se mettent en contradiction avec eux-mêmes. D'un côté, ils prétendent qu'Athènes est trop faible pour lutter contre Alexandre; de l'autre côté, ils accordent implicitement, sans s'en aercevoir (λανθάνουσιν ἑαυτοὺς ὁμολογοῦντες), qu'Athènes est irrésistible. En effet, ils veulent qu'Athènes observe la légalité en dépit de la légalité (τὸ δίκαιον οὐ δικαίως διαφυλάττειν), c'est-à-dire qu'elle reste tranquille par respect pour un traité, qui ordonne au contraire de châtier les transgresseurs [Reiske], et ils autorisent ainsi la supposition qu'Athènes, si elle se décidait à agir suivant ses intérêts, pourrait facilement l'emporter sur ses adversaires. L'argumentation est extrêmement subtile; mais el'. n'est pas même spécieuse.

10-13. Αὐτό, c'est-à-dire τὸ ὁμολογεῖ· τοῦτο. [G. H. Schæfer.] — Ἕως γὰρ ἂν ἐξῇ.... ἰσχυροτέρας εὑρέσθαι, car tant que les Athéniens peuvent, même seuls, se dire maîtres incontestés de la mer, il leur est possible de se garder aussi sur terre, en ajoutant à leurs forces de terre d'autres abris plus puissants. Harpocration : Προβολάς, ἀντὶ τοῦ ἀσφαλείας ἐκ πόλεων ἢ τειχῶν ἢ τινων ἄλλων δυνάμεων ἐπὶ σωτηρίᾳ καὶ κράτει γιγνομένων, Δημοσθέ-

ἄλλως τε καὶ πεπαυμένων ὑπὸ τῆς τύχης τῶν δορυφορουμένων ὑπὸ τῶν τυραννικῶν στρατοπέδων, καὶ τῶν μὲν ἐφθαρμένων, τῶν δὲ ἐξεληλεγμένων οὐδενὸς ἀξίων ὄντων.

[26] Τὸ μὲν οὖν περὶ τὰ πλοῖα πρὸς τοῖς ἄλλοις τοῖς προειρημένοις ὁ Μακεδὼν τηλικοῦτον παρέβη· τὸ δὲ ὑβριστικώτατον καὶ ὑπεροπτικώτατον τῶν Μακεδόνων τὸ πρῴην γεγενημένον ἐστί, τὸ τολμῆσαι εἰσπλεῦσαι εἰς τὸν Πειραιᾶ παρὰ τὰς κοινὰς ἡμῖν πρὸς 219 αὐτοὺς ὁμολογίας. Καὶ τοῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, οὐχ ὅτι μία τριήρης ἦν, μικρὸν ὑποληπτέον, ἀλλ' ὅτι ἀπόπειρα ἐγένετο, εἰ περιοψόμεθα, ἵνα μετὰ πλειόνων αὐτοῖς ἐγγένηται τοῦτο πράττειν, καὶ ὅτι οὐκ ἐφρόντισαν τῶν κοινῶν δογμάτων, καθάπερ οὐδὲ τῶν προειρημένων. [27] Ἐπεὶ ὅτι γε τοῦτο παράδυσις ἦν κατὰ μικρὸν καὶ ἐθισμὸς τοῦ ἀνέχεσθαι ἡμᾶς τοὺς τοιούτους εἴσπλους, κἀκεῖθεν δῆλον· τῷ γὰρ τὸν τότ' ἐπὶ τῆς νεὼς εἰσπλεύσαντα, ὃν ἔδει εὐθὺς μετὰ τῆς τριήρους ὑφ' ὑμῶν ἀπολωλέναι, αἰτεῖσθαι ναυπηγήσασθαι μικρὰ πλοῖα ἐν τοῖς ἡμετέροις λιμέσι πῶς οὐ καταφανὲς ὅτι ἀντὶ τοῦ εἰσπλεῖν τὸ εὐθὺς ἔνδον

NC. 8. ὁμολογίας A. συνθήκας vulg. — 10. μετὰ πλειόνων. Feliciano : διὰ πλειόνων. — 14-15. τῷ une des Aldines. τὸ mss. — εἰσπλεύσαντα ἐπὶ τῆς νεὼς vulg. — ὑμῶν. A : ἡμῶν. — 16. μικρὰ. A : μακρὰ. — 17. καταφανὲς A. Spengel. καταφανὲς ποιεῖ A. καταφανὲς ἦν ποιεῖ F. καταφανὲς ἦν vulg.

νης ἐν τῷ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, εἰ γνήσιος. Cf. Xénophon, *Mémorabl.* III, v, 27 : Μεγάλην δὲ προβολὴν τοῖς πολίταις τῆς χώρας κατεσκευάσθαι. Voyez aussi Platon, ainsi que les poëtes attiques.

1-2. Τῶν δορυφορουμένων ὑπὸ τῶν τυραννικῶν στρατοπέδων. Cf. § 12. L'orateur dit ici de la manière la plus précise que la fortune a mis fin à la puissance des traîtres. Cette assertion peut étonner, mais il n'est pas permis de traduire, comme fait Vœmel : « Præsertim si fortuna insolentiam eorum depresserit. »

5-6. Τηλικοῦτον παρέβη. Cf. § 22 : Τηλικοῦτον παρέβησαν τῶν ὅρκων. — Τὸ ὑβριστικώτατον.... τῶν Μακεδόνων, l'acte le plus insultant des Macédoniens. Ce tour elliptique pourrait tout aussi bien désigner une parole insultante. Les Latins s'expriment de la même façon. Cf. Cicéron, *Verrines*, II, II, 26 : « Omnia erant « Metelli ejusmodi, ut istius præturam « retexere videretur. »

9. Ἀλλ' ὅτι équivaut à ἀλλὰ μέγα ὑποληπτέον ὅτι. « Est hoc ex idiomatis Græcæ « syntaxis, antegressa negativa enuntia« tione, cui sequentia opponuntur per « ἀλλά, ad hanc particulam subaudiri con« trarium ejus quod antecessit. » [G. H. Schæfer.]

10. Μετὰ πλειόνων équivaut ici à πλείονας ἔχουσι τριήρεις τε καὶ στρατιώτας. — Καθάπερ οὐδὲ τῶν προειρημένων. Pour s'exprimer avec une justesse rigoureuse, l'orateur aurait dû dire : καθάπερ οὐδ' ἐν τοῖς προειρημένοις.

17 sq. Ἀντὶ τοῦ εἰσπλεῖν τὸ εὐθὺς ἔνδον εἶναι ἐμηχανῶντο. En effet, si les Macédoniens obtenaient la permission de construire des vaisseaux dans le Pirée, ils n'avaient plus besoin d'y entrer avec une flotte, ils s'y trouvaient tout établis.

εἶναι ἐμηχανῶντο; καὶ εἰ λεπτὰ πλοῖα ὑπομενοῦμεν, ὀλίγον ὕστερον καὶ τριήρεις· καὶ εἰ τὸ πρῶτον ὀλίγας, μικρῷ ὕστερον πολλάς. [28] Οὐ γὰρ δὴ ἔστι γ' εἰπεῖν ὡς Ἀθήνησι μὲν ἀφθόνων ὄντων τῶν ναυπηγησίμων ξύλων, τῶν μόλις καὶ πόρρωθεν εἰσκομιζομένων, ἐν δὲ τῇ Μακεδονίᾳ ἐπιλελοιπότων, τῇ καὶ τοῖς ἄλλοις τοῖς βουλομένοις εὐτελέστατα καθισταμένῃ, ἀλλ' ᾤονθ' ἅμα τε ναυπηγήσεσθαι ἐνταῦθα καὶ πληρώσεσθαι ἐν τῷ λιμένι, τῷ προειρημένῳ ἐν ταῖς κοιναῖς ὁμολογίαις [διειρημένου] μηδὲν τοιοῦτον εἰσδέχεσθαι, καὶ τοῦτ' ἐξέσεσθαι ἐπὶ πλέον ἀεὶ ποιεῖν. [29] Οὕτω πανταχόθεν καταπεφρονηκότως ἐκεῖνοι τῇ πόλει χρῶνται διὰ τοὺς ἐντεῦθεν διδασκάλους τοὺς ὑπαγορεύοντας αὐτοῖς ἃ δεῖ ποιεῖν· οὕτω δὲ κατεγνώκασι μετὰ τούτων ἀδιήγητόν τινα τῆς πόλεως ἔκλυσιν καὶ μαλακίαν, καὶ

NC. 4. μόγις καὶ πόρρωθεν A. πόρρωθεν καὶ μόλις vulg. — 7. ναυπηγήσεσθαι A. ναυπηγηθήσεσθαι vulg. — πληρώσεσθαι vulg. πληρωθήσεσθαι A. — 8-9. διειρημένου. Je regarde ce mot comme une glose, insérée par suite de la ponctuation ἐν τῷ λιμένι τῷ προειρημένῳ, ἐν.., à laquelle j'ai substitué celle qu'on voit dans le texte, et qui rend la structure de cette phrase analogue à ξύλων, τῶν.... εἰσκομιζομένων, et à Μακεδονίᾳ.... τῇ.... καθισταμένῃ. Reiske supprimait les mots τῷ προειρημένῳ, G. H. Schæfer et Bekker vou'aient retrancher ἐν τῷ λιμένι τῷ προειρημένῳ. Cobet écrit διειρημένον pour διειρημένου. — 9. τοῦτο A. ταῦτα vulg. — ἐξέσεσθαι correction de H. Wolf, adoptée par Dindorf, et exigée, non par la grammaire (car on peut mettre un point après εἰσδέχεσθαι), mais par le sens général du passage. ἐξέσται manuscrits. — 10. πλέον. A : πλεῖον. — πανταχόθεν A. πάντοθεν vulg. — 11. τῇ πόλει. Ces mots manquent dans la vulgate. — 12. οὕτω δὲ manuscrits. οὕτω δὴ vieilles éditions.

2. Καὶ τριήρεις. Sous-entendez ναυπηγουμένας ὑπομενεῖν ἡμᾶς ἐμηχανῶντο.

3-4. Εἰπεῖν ὡς.... ἀφθόνων ὄντων.... (parler comme si le bois de construction était abondant) est un hellénisme pour εἰπεῖν ἄφθονα εἶναι. Cf. Xénophon, *Anabase*, II, 1, 21 : Ὡς πολέμου ὄντος παρ' ὑμῶν ἀπαγγελῶ. Platon, *Ménon*, p. 96, E: Ὡς διδακτοῦ οὔσης τῆς ἀρετῆς λέγει. *Républ.* I, 327 E : Ὡς τοίνυν μὴ ἀκουσομένων, ἔφη, οὕτω διανοεῖσθε. Ce dernier exemple peut servir à faire comprendre cet idiotisme.

5-6 Τῇ.... εὐτελέστατα καθισταμένῃ, qui établit (ces bois) à très-vil prix, c'est-à-dire qui les vend très-bon marché. Le prix établi par l'offre et la demande, le *cours* d'une marchandise, s'appelle ἡ καθεστηκυῖα τιμή. Cf. *Contre Dionysodore*, §§ 8 et 10. Établir par une coalition des prix artificiels, un cours factice, c'est συνιστάναι τὰς τιμάς : *ib.* § 7. Comparez le latin *constare*.

7. Πληρώσεσθαι, équiper, se procurer l'équipage.

8-9. Τῷ προειρημένῳ.... εἰσδέχεσθαι, port relativement auquel il est stipulé dans les traités helléniques de n'y laisser entrer rien de pareil. Προλέγειν et προαγορεύειν se disent des prescriptions légales portées à la connaissance de tout le monde. Cf. Platon, *République*, IV, p. 426 C : Προαγορεύουσι τοῖς πολίταις τὴν μὲν κατάστασιν τῆς πόλεως ὅλην μὴ κινεῖν.

12-13. Κατεγνώκασι.... τῆς πόλεως ἔκλυσιν, ils ont jugé la ville énervée. Cf. *Contre Onétor*, I, 38 : Τοσαύτην ὑμῶν

οὔτε πρόνοιαν περὶ τῶν μελλόντων εἶναι, οὔτε λογισμὸν οὐδένα 220 παραγίγνεσθαι τίνα τρόπον χρῆται ὁ τύραννος ταῖς κοιναῖς ὁμολογίαις.

[30] Αἷς ἐγὼ διακελεύομαι, ὦ ἄνδρες Ἀθηναῖοι, πείθεσθαι, καθάπερ ἐδίδαξα, καὶ διαβεβαιωσαίμην ἄν, ὡς τοῦθ' ἡλικίας ἔχων, ἅμα καὶ τῷ δικαίῳ ἡμᾶς ἀνεγκλήτως καὶ τοῖς καιροῖς ἀσφαλέστατα χρήσεσθαι τοῖς ἐπὶ τὸ συμφέρον κατεπείγουσιν. Καὶ γὰρ ἔτι προσγέγραπται ταῖς συνθήκαις, « ἐὰν βουλώμεθα τῆς κοινῆς εἰρήνης μετέχειν »· τὸ δ' « ἐὰν βουλώμεθα » ἐστὶν ἅμα καὶ τοὐναντίον, ἢ ἄρ' οὔποτε δεῖ παύσασθαι αἰσχρῶς ἑτέροις ἀκολουθοῦντας, ἀλλὰ μηδ' ἀναμνησθῆναι μηδεμιᾶς φιλοτιμίας τῶν ἐξ ἀρχαιοτάτου καὶ πλείστων καὶ μάλιστα πάντων

NC. 1. περὶ A. ὑπὲρ vulg. — 5. διαβεβαιωσαίμην ἂν H. Wolf. διεβεβαιωσάμην ἂν manuscrits et Vœmel. Cette leçon ne peut se justifier par des phrases comme : Ὧν ἐγὼ.... οἶμαι ἄν, αὐτῶν εἰ καλῶς τις ἐπιμελοῖτο, οὐκ εἶναι ἔθνος ὁποίῳ.... (Xénophon, *Hell.* VI, 1, 9.) Car οἶμαι, comme οἶδα, comme δῆλον ὅτι, se fond avec la phrase complexe qu'il gouverne grammaticalement, au point que οἶμαι ἂν se dit comme ἴσως ἄν. — 7. χρήσεσθαι G. H. Schæfer. χρήσασθαι A. χρῆσθαι vulg. — 8. ἐν ταῖς Herwerden. — 10. ἢ ἄρ' οὔποτε δεῖ est notre correction pour εἰ ἄρα ποτὲ δεῖ, leçon inconciliable avec ἀλλὰ μηδ' ἀναμνησθῆναι. Je trouve inadmissible la conjecture de Sauppe : εἰ ἄρα ποτὲ δεῖ μή, que Dindorf et Vœmel ont adoptée. Ils veulent que τοὐναντίον signifie ici la contrainte, comme étant opposée à la liberté du choix. (« Irrisio aperta (?) « hæc est : voluntas vertitur in contrarium, si necessarium est perpetuo aliis obedire. ») C'est forcer le sens des mots, et ne tenir aucun compte ni de ἅμα ni de ποτέ. — 12. πλείστων A. πλείστου vulg.

εὐήθειαν κατέγνωκεν. Dans ces locutions, καταγιγνώσκειν, « condamner, » a pour pendant ὀφλισκάνειν, « être condamné. » Cf. *Philipp.*, I, 42, avec la note.

1. Εἶναι, coordonné à παραγίγνεσθαι, ne dépend pas de μελλόντων, mais est l'attribut de πρόνοιαν. [G. H. Schæfer.]

5-7. Ὡς τοῦθ' ἡλικίας ἔχων. L'orateur invoque l'autorité que lui donne son âge avancé. Cf. Homère, *Il.* III, 108 : Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται· Οἷς δ' ὁ γέρων μετέῃσιν, ἅμα πρόσσω καὶ ὀπίσσω Λεύσσει, ὅπως ὄχ' ἄριστα μετ' ἀμφοτέροισι γένηται. — Ἀνεγκλήτως. Cf. §§ 2 et 22. — Κατεπείγουσιν. Sous-ent. ἡμᾶς.

9-12. Τὸ δ' « ἐὰν βουλώμεθα » ἐστὶν ἅμα καὶ τοὐναντίον, les mots « si nous voulons » impliquent aussi la supposition contraire, c'est-à-dire, que nous ne voulions pas. Il est étrange qu'on ait méconnu le sens de ces mots. Voir *NC*. Le scholiaste dit très-bien : ὡς τοῦ ῥητοῦ καὶ τῶν συνθηκῶν ἐπιτρεπουσῶν, εἰ βούλοιτό τις μηδαμῶς Ἀλεξάνδρῳ ἀκολουθεῖν. L'orateur dit qu'Athènes doit user de cette faculté, à moins qu'elle ne veuille se laisser à jamais commander par d'autres, et perdre jusqu'au souvenir de ses glorieuses traditions. — Ἢ ἄρ' οὔποτε δεῖ παύσασθαι, ou bien il ne faut donc jamais cesser. — Ἀλλὰ μηδ(έ), c'est-à-dire ἀλλὰ δεῖ μηδέ. — Καὶ πλείστων, et en très-grand nombre. L'ancienne vulgate πλείστου (ἐκ πλείστου) faisait double emploi avec ἀρχαιοτάτου.

ἀνθρώπων ἡμῖν ὑπαρχουσῶν. Ἐὰν οὖν κελεύητ', ὦ ἄνδρες Ἀθηναῖοι, γράψω, καθάπερ αἱ συνθῆκαι κελεύουσι, πολεμεῖν τοῖς παραβεβηκόσιν.

NC. 1. ἡμῖν A. ὑμῖν vulg.

1. Ἐὰν οὖν κελεύητ(ε).... Comment l'assemblée du peuple peut-elle témoigner son assentiment, si l'orateur ne lui offre pas l'occasion de voter sur une motion? Par des applaudissements, des acclamations?

FIN DU PREMIER VOLUME.

TABLE DES MATIÈRES

DU PREMIER VOLUME.

FIN DE LA TABLE DES MATIÈRES DU PREMIER VOLUME.

3441. — Imprimerie A. Lahure, rue de Fleurus, 9, à Paris



